# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΒΑΠΤΙΣΜΑΤΟΣ*

ΥΠΟ

**ΠΑΝΑΓΙΩΤΟΥ Ν. ΤΡΕΜΠΕΛΑ**

ΚΑΘΗΓΗΤΟΥ ΤΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΑΘΗΝΩΝ

---

## ΕΥΧΑΙ ΕΙΣ ΓΥΝΑΙΚΑ ΛΕΧΩ

*Τῇ πρώτῃ ἡμέρᾳ τῆς γεννήσεως τοῦ παιδίου αὐτῆς.*

Ποιεῖ ὁ ἱερεὺς εὐλογητόν· Τρισάγιον, τὸ Παναγία Τριάς· τὸ Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. Τὸ ἀπολυτίκιον τῆς ἡμέρας καὶ τὸ Θεοτοκίον. Εἶτα
Τοῦ Κυρίου δεηθῶμεν

Δέσποτα Κύριε παντοκράτορ, ὁ ἰώμενος πᾶσαν νόσον καὶ πᾶ-

* Συνέχεια ἐκ τοῦ προηγουμένου τεύχους σελ. 436.

*Ὁ **$K_1$** «Εὐχὴ ἑτέρα της λεγχώνας». Ὁ ᾱ «Ἀκολουθία εἰς γυναῖκα λεχώ»· Οἱ **Ξ Πe** «Ἀκολουθία εἰς λογχίαν τῆς γυναικός». Ὁ **K** Ω «Εὐχὴ εἰς λεχώ». Ὁ **Ψ** Εὐχὴ εἰς λεχοῦσα. Ὁ **Λ** Εὐχὴ εἰς οἰκίαν γυναικὸς λεχώ. Ὁ $σ_8$ Ἀκολουθία εἰς λοχοῦσαν.*

Οἱ $σ_8$ ᾱ «Ποιεῖ ὁ ἱερεύς...Ὅτι σοῦ ἐστιν. Καὶ λέγει τὰ δύο τροπάρια ταῦτα Ἡ γέννησίς σου, Χριστέ... Κε δόξα σοι. Ἕτερον τῆς Θεοτόκου. Ἡ γέννησίς σου, Θεοτόκε...αἰώνιον.

Οἱ **Ξ Πe** «Εἰσέρχεται ὁ ἱερεὺς μετὰ ἐπιτραχηλίου. Καὶ ποιεῖ..· Ἀπολυτίκιον τῆς ἡμέρας. Καὶ τὴν εὐχὴν ταύτην κατὰ συνήθειαν..»

Ὁ **Ψ** εὐθὺς μετὰ τὸ Ὅτι σοῦ  τὴν εὐχήν.

Ὁ **Λ** «Εἰσέρχεται ὁ ἱερεὺς ἐν τῷ οἴκῳ, ἔνθα τὸ βρέφος ἐγεννήθη καὶ ἵσταται πρὸ τοῦ πυλῶνος φορῶν τὸ ἐπιτραχήλιον. Κἀκεῖσε ποιεῖ εὐλογητὸν, ...τὸ ἀπολυτίκιον καὶ τὸ κοντάκιον τῆς λαχούσης ἡμέρας καὶ εὐθὺς τὴν εὐχήν».

Ἡ ἀνωτέρω εὐχὴ μετὰ τῶν σημειουμένων διαφόρων γραφῶν μόνον παρὰ τῷ ε ὡς εὐχὴ ἑτέρα, προτασσομένης τῆς ἑπομένης εὐχῆς :

....Τοῦ Κου δεηθῶμεν Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν δυνάμεων, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς· ὁ πλάσας τὸν ἄνθρωπον καὶ ἐκ τῆς πλευρᾶς αὐτοῦ ἀνοικοδομήσας γυναῖκα καὶ συζεύξας αὐτοὺς λέγων· Αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν· ὁ διὰ τὴν ἡμετέραν σωτηρίαν τεχθεὶς ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, αὐτὸς εὐλόγησον καὶ τὸν οἶκον τοῦτον καὶ πάντας τοὺς ἐν αὐτῷ οἰκοῦντας σὺν τῇ τεκούσῃ καὶ τῷ ἐξ αὐτῆς τεχθέντι νηπίῳ καὶ ταῖς κοπιαζούσαις γυναιξὶ σὺν ταῖς μαίαις, ὡς εὐλόγησας τὸ σπήλαιον ἐν Βηθλεὲμ καὶ τὸν οἶκον Ζακχαίου, πρεσβείαις τῆς ἀχράντου σου Μητρὸς καὶ πάντων τῶν ἁγίων σου. Ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας.

Παρὰ τοῖς **K O** Ω **Λ** ἡ κατωτέρω εὐχὴ

Κύριε ὁ Θεὸς ἡμῶν ὁ ἐκ τοῦ χοὸς πλάσας τὸν ἄνθρωπον καὶ ἐξ αὐτοῦ ἀναπλάσας γυναῖκα καὶ ἰσοτιμίᾳ τιμήσας αὐτούς, παραβάντας δὲ αὐτοὺς τὴν ἐντολήν σου ἐκβαλὼν αὐτοὺς ἐκ τοῦ παραδείσου εἰς τὸν μοχθηρὸν τοῦτον βίον καὶ εἰπὼν τῷ ἀνδρί· Ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγεῖν τὸν ἄρτον· τῇ δὲ γυναικὶ ἐν λύπαις τέξῃ τέκνα· οὕτω κελεύσας τὸν ἄνθρωπον· ὁ καταξιώσας αὐτοὺς ἐκ γυναικὸς ἀναμαρτήτως γεννηθῆναι, Ἵλεως γενοῦ, δέσποτα, ταῖς

*1-5 Δέσποτα, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πλάστης καὶ δημιουργὸς ἡμῶν, ὁ πλάσας τὸν ἄνθρωπον ἐκ τοῦ χοὸς καὶ ἐξ αὐτοῦ διαπλάσας τὴν γυναῖκα καὶ ἰσοτιμήσας αὐτούς, παραβάντας δὲ αὐτοὺς ἐκβαλὼν ἐκ τοῦ...βίον ἀγαγὼν **K**  λύπαις τέξειν Ω  τιμήσας αὐτὴν **O** ἐκβαλὼν τοῦ παραδ. **O**  τοῦ προσώπου φαγεῖν **O**  τέκνα ὁ καταξιώσας **O***

σαν μαλακίαν, αὐτὸς καὶ τὴν παροῦσαν τὴν σήμερον τέξασαν δούλην σου (τήνδε) ἴασαι, καὶ ἀνάστησον αὐτὴν ἀπὸ τῆς κλίνης, ἧς ἐπίκειται, ὅτι κατὰ τὸν τοῦ προφήτου Δαβὶδ λόγον, ἐν ἀνομίαις συνελήφθημεν, καὶ διὰ ρύπου πάντες ἐσμὲν ἐνώπιόν σου. Φύλαξον ταύτην καὶ τὸ παρὸν νήπιον, ὃ ἔτεκε· σκέπασον αὐτὴν ὑπὸ τὴν σκέπην

---

ἁμαρτίαις ἡμῶν καὶ ἁγίασον τὴν δούλην σου τήνδε καὶ καθάρισον αὐτῆς τὸν ρύπον τοῦ σώματος καὶ τὸν σπίλον τῆς ψυχῆς καὶ καταξίωσον ἐξυπηρετεῖν τῇ οἰκίᾳ αὐτῆς ἀμέμπτως καὶ κάθαρον πάντα δισταγμὸν ἀπὸ τῆς ψυχῆς αὐτῆς. Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

Ταύτης ὁ *Δ* προτάσσει μέν:

Εἰρήνη πᾶσι. Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐφ' ἡμᾶς καὶ ἐπὶ τὴν δούλην σου τήνδε καὶ καθάρισον αὐτῆς τὸν ρύπον τοῦ σώματος καὶ τὸν σπίλον τῆς ψυχῆς. Καταξίωσον αὐτὴν ἅπτεσθαι παντὸς ἔργου ἀμιάντως καὶ ἀκωλύτως. Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι...

ἐπιτάσσει δὲ τὰ ἑπόμενα : [ὁ *Δ*]

Εὐχὴ ἑτέρα. Τοῦ Κυρίου δεηθῶμεν.

Δέσποτα φιλάνθρωπε, Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ διὰ τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου σου Πνεύματος τοὺς ἁγίους σου ἀποστόλους διδάξας καὶ ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ παραγενόμενος καὶ εὐλογήσας αὐτὴν καὶ ἁγιάσας, αὐτός, δέσποτα Κύριε, εὐλόγησον καὶ τὴν οἰκίαν ταύτην καὶ τοὺς κατοικοῦντας ἐν αὐτῇ, καὶ ἁγίασον τὸν ρύπον καὶ καθάρισον αὐτοὺς ἀπὸ πάσης κηλῖδος καὶ ἀποδίωξον ἀπ' αὐτῶν πᾶν πονηρὸν καὶ ἀκάθαρτον πνεῦμα· πρεσβείαις καὶ ἱκεσίαις τῆς παναχράντου Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ πάντων σου τῶν ἁγίων. Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς καὶ ἡ κάθαρσις τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ

---

*1 τὴν παροῦσαν δούλην σήμερον ἴασαι ε 2—3 τῆς κλίνης ἧς περίκειται τέξασα κατὰ τὸ τοῦ προφήτου Δαβὶδ τὸ λόγιον· Ὅτι ἐν ἁμαρτίαις ἐγεννήθημεν καὶ ἐν ἁμαρτίαις συνελήφθημεν ε 4 ἐνώπιόν σου, Κύριε· καὶ διὰ τοῦτο δεόμεθά σου, Κύριε, φύλαξον καὶ ἴασαι τὴν δούλην ταύτην ε 5 σκέπασον αὐτὸ ὑπὸ... ε*

*8 ἀμέμπτως καὶ καθάρισον πάντα Δ 9 ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι O*

*Ἐν τῷ I μετὰ τὴν ἀκολουθίαν τοῦ βαπτίσματος ὑπὸ τὴν ἐπιγραφὴν «Εὐχὴ εἰς τὸ σιβάσαι γυναῖκα εἰς τὴν ἐκκλησίαν» ἡ ἐν στίχ. 14-19 εὐχὴ μετὰ τῶν ἑπομένων διαφόρων γραφῶν.*

*14 ἐπὶ σωτηρίαν I 15 ἔπιδε ἐπὶ τὴν δούλην σου τήνδε καὶ δώρησαι αὐτὴν καταφυγὴν τῇ ἁγίᾳ σου καθολ. καὶ ἀποστ. ἐκκλησ. καὶ ἀπόπλυνον τὸν ῥύπον I 16—18 ψυχῆς διὰ τῶν τεσσαράκοντα ἡμερῶν. Καὶ καταξίωσον αὐτὴν εἰσελθεῖν δι' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου τοῦ γενέσθαι ἁγίαν ναοῦ καὶ σὺν ἡμῖν δόξαν ἀναπέμπει σοι τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι I.*

τῶν πτερύγων σου ἀπὸ τῆς σήμερον μέχρι τῆς ἐσχάτης αὐτῆς τελειώσεως· πρεσβείαις τῆς παναχράντου Θεοτόκου καὶ πάντων τῶν ἁγίων· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

*τῶν πτερύγων σου Πρεσβείαις ε παναχράντου σου μητρὸς καὶ... ε*

---

ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶθ' οὕτως εἰσέρχεται ἔνδον τοῦ οἴκου ραίνων ἅγιον ὕδωρ ἤτοι τοῦ ζέου ἐν ταῖς τέσσαρσι γωνίαις τοῦ οἴκου. Καὶ ἡ εὐχή, ἣν ποιεῖ ὁ ἱερεὺς ὑπὲρ τοῦ λαοῦ καὶ αὐτοῦ τοῦ οἴκου.

Τοῦ Κυρίου δεηθῶμεν

Δέσποτα, Κύριε ὁ Θεὸς ἡμῶν, οἴκων ἁγιαστὰ καὶ ψυχῶν λυτρωτά, αὐτός, φιλάνθρωπε βασιλεῦ, ἁγίασον τὸν οἶκον τοῦτον, καὶ τοὺς ἐνοικοῦντας ἐν αὐτῷ ἀμιάντους καὶ ἀκηλιδώτους διαφύλαξον, καὶ πάντας τοὺς συνελθόντας ἐν τῇ γεννήσει τοῦ παρόντος νηπίου καθάρισον αὐτοὺς ἀπὸ παντὸς ρύπου, συνετίζων εἰς πᾶν ἔργον ἀγαθόν· καὶ ἀξίωσον ἅπτεσθαι παντὸς εἴδους καὶ ἐν τῇ ἁγίᾳ σου ἐκκλησίᾳ ἀκατακρίτως εἰσέρχεσθαι, ἐν ὑγείᾳ δὲ καὶ σωτηρίᾳ πάντας ἡμᾶς διαφύλαξον καὶ ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ διατήρησον. Χάρισαι αὐτοῖς καρπὸν ἔργων ἀγαθῶν· ρῦσαι αὐτοὺς ἀπὸ πάντων τῶν ἐναντίων· σκέπασον ἡμᾶς τε καὶ αὐτοὺς ὑπὸ τὴν κραταιάν χεῖρά σου, τῇ σῇ προνοίᾳ κυβερνώμενοι, εὐαρεστοῦντας ἐπὶ πᾶσι, δοξάζοντας διὰ παντὸς τὸ ὄνομά σου τὸ ἅγιον, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν...

Καὶ εὐθὺς ποιεῖ ἀπόλυσιν.

Ὁ **Ο** τῆς εὐχῆς Κύριε ὁ Θεὸς ἡμῶν ὁ ἐκ τοῦ χοός... ἐπιτάσσει :

Εὐχὴ ἑτέρα εἰς γυναῖκα λεχὼ

Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, Λόγε Θεοῦ καὶ Πατρὸς Υἱὲ μονογενές, ὁ διὰ τὴν ἡμῶν σωτηρίαν εὐδοκίᾳ τοῦ ἀνάρχου σου Πατρὸς καὶ συνεργίᾳ τοῦ ὁμοουσίου καὶ συναϊδίου καὶ ζωοποιοῦ Πνεύματος κατελθὼν ἐν τῷ τέλει τῶν αἰώνων ἐν μήτρᾳ τῆς ἁγίας παρθένου καὶ σαρκωθεὶς καὶ κυηθεὶς ἀφράστως καὶ ἀρρήτως, ὡς οἶδας αὐτὸς μόνος, ἄνθρωπος γεγονὼς τέλειος, ἵνα ἡμᾶς λυτρώσῃς τῆς τοῦ ἐχθροῦ τυραννίδος, καὶ τὴν πρώτην ἀρὰν ἀφανίσας, ἡμᾶς τῇ ἀντιδόσει τῆς θεότητος εἰς οὐρανὸν ἀνυψώσας, τῷ πατρικῷ θρόνῳ ἐνιδρύσας· καὶ ὥσπερ τὴν ἀειπάρθενον τεκοῦσάν σε ἀνώδυνον καὶ ἄλυπον ἐφύλαξας καὶ μετὰ τόκον παρθένον μείνασαν, οὕτως εὐδόκησον, πολυεύσπλαγχνε δέσποτα, ὑπεράγαθε Κύριε Ἰησοῦ Χριστέ, καὶ τὴν νυνὶ τεκοῦσαν ρυσθῆναι πάσης ἐπιβουλῆς τοῦ ἐχθροῦ καὶ τῇ σῇ χάριτι καὶ τῷ σῷ ἁγιασμῷ κάθαρον, ἁγίασον τῇ δωρεᾷ καὶ ἐπιφοιτήσει τοῦ ἁγίου σου Πνεύματος· ἵνα ἀδιστάκτως οἱ ὑπηρετήσαντες τῇ τεκούσῃ ἐν τῷ οἴκῳ τούτῳ καὶ οἱ προσιόντες τοῦ ἁγιασμοῦ ἀπολάβωσιν. Εὐδόκησον δὲ καὶ τὸ τεχθὲν διαφυλαχθῆναι ἀνώτερον τῶν ἐπινοιῶν τοῦ ἐχθροῦ καὶ ἀξιωθῆναι τοῦ λουτροῦ τῆς παλιγγενεσίας· καὶ τίμιον σκεῦος γενέσθαι τοῦ ἁγιασμοῦ σου· καὶ τῇ μεθέξει τῶν ἀχράντων καὶ θείων σου μυστηρίων κληρονόμος γένηται τῆς αἰωνίου βασιλείας· ἵνα καὶ δι' αὐτοῦ καὶ διὰ πάσης κτίσεως καὶ δι' ἡμῶν τῶν ἀχρείων δούλων σου δοξάζηται τὸ πανάγιον ὄνομα, τῆς μιᾶς κυριαρχίας καὶ θεότητος καὶ βασιλείας· ᾗ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, κράτος, μεγαλωσύνη, μεγαλοπρέπεια, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Τοῦ Κυρίου δεηθῶμεν.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν ὁ τεχθεὶς ἐκ τῆς παναχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ ὡς νήπιον ἐν φάτνῃ ἀνακληθεὶς καὶ ὡς βρέφος ἀναδειχθείς· αὐτὸς καὶ τὴν παροῦσαν δούλην σου, τὴν σήμερον τέξασαν τὸ παρὸν παιδίον, ἐλέησον καὶ συγχώρησον τὰ ἑκούσια καὶ τὰ ἀκούσια αὐτῆς πταίσματα καὶ διαφύλαξον αὐτὴν ἀπὸ πάσης τοῦ διαβόλου τυραννίδος. Καὶ τὸ ἐξ αὐτῆς κυηθὲν νήπιον διατήρησον ἀπὸ πάσης φαρμακίας, ἀπὸ πάσης χαλεπότητος, ἀπὸ πάσης ζάλης τοῦ ἀντικειμένου, ἀπὸ πνευμάτων πονηρῶν, ἡμερινῶν τε καὶ νυκτερινῶν. Ταύτην δὲ διατήρησον ὑπὸ τὴν κραταιάν χεῖρά σου καὶ δὸς αὐτῇ ταχινὴν ἐξανάστασιν καὶ τοῦ ρύπου κάθαρον καὶ τοὺς πόνους θεράπευσον καὶ ρῶσιν καὶ εὐρωστίαν ψυχῇ τε καὶ σώματι δώρησαι, καὶ δι' ἀγγέλων φαιδρῶν καὶ φωτεινῶν ταύτην περίθαλψον καὶ περιφρούρησον ἀπὸ πάσης ἐπελεύσεως τῶν ἀοράτων πονηρῶν. Ναί, Κύριε· ἀπὸ νόσου καὶ μαλακίας, ἀπὸ ζήλου καὶ φθόνου καὶ ὀφθαλμῶν βασκανίας. Καὶ ἐλέησον αὐτὴν καὶ τὸ βρέφος κατὰ τὸ μέγα σου ἔλεος καὶ καθάρισον

---

Ἡ ἀνωτέρω εὐχὴ μόνον παρὰ τῷ $K_1$

Ἐν τῷ Ψ μόνη «εὐχὴ εἰς λεχοῦσα» ἡ ἑπομένη :

Τοῦ Κυρίου δεηθῶμεν

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, παραγενοῦ καὶ ἐπὶ τὸν οἶκον τοῦτον καὶ τοὺς ἐν αὐτῷ κατοικοῦντας σὺν τῷ τεχθέντι νηπίῳ εὐλόγησον καὶ δώρησαι αὐτοῖς ἁγιασμὸν καὶ εὐλογίαν πνευματικὴν διὰ τῆς χάριτος τοῦ Χριστοῦ σου. Καὶ ζωοποίησον τὸ παρὸν νήπιον σὺν τῇ μητρὶ αὐτοῦ. Καὶ καταξίωσον αὐτὸ λαβεῖν τὸ ἅγιον βάπτισμα καὶ τὴν σφραγῖδα τοῦ τιμίου μύρου καὶ τὴν μετάληψιν τοῦ τιμίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ σου. Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν...

Τὴν ἀνωτέρω εὐχὴν ὁ $\Pi_8$ ἐπιγράφει (Εὐχὴ) τῆς μαίας. Καὶ μετ' αὐτὴν προσθέτει : «Καὶ θυμιᾷ τὸν οἶκον ἔνθα κεῖται ἡ λεχὼ καὶ ραντίζει αὐτὸν ὕδωρ τῶν ἁγίων Θεοφανείων. Καὶ ποιεῖ ἀπόλυσιν».

Καὶ κατὰ τὸν α̃ μετὰ τὰ δύο τροπάρια· «Εἶτα θέτουσιν ἄγγειον ἐπάνω σκαμνίου». Ἐπακολουθοῦσι τρεῖς εὐχαί : Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ πατὴρ.. (Ἴδε εὐχὴ εἰς τὸ σαραντίσαι γυναῖκα). Εἶτα ἡ εὐχὴ Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐκ τοῦ χοὸς πλάσας τὸν ἄνθρωπον...Μετ' αὐτὴν Εὐχὴ ἑτέρα εἰς τὰς παρατυχούσας γυναῖκας· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐκ τοῦ χοὸς πλάσας τὸν ἄνθρωπον...Μετ' αὐτὴν Εὐχὴ ἑτέρα εἰς τὰς παρατυχούσας γυναῖκας· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῷ κορυφαίῳ (Ἴδε κατωτέρω). Μεθ' ὃ προστίθενται : «Καὶ λαμβάνει ὁ ἱερεὺς ἐκ τοῦ ἁγιασθέντος ὕδατος τοῖς τρισὶ δακτύλοις αὐτοῦ καὶ ποιεῖ σταυροῦ τύπον ἐπὶ τοῦ μετώπου καὶ τοῦ πώγωνος καὶ τῶν δύο παρειῶν τοῦ βρέφους. Καὶ οὕτως ὑψώνει τὴν Παναγίαν καὶ λέγει Μέγα τὸ ὄνομα τῆς ἁγίας Τριάδος Καὶ τὰ ἑξῆς. Καὶ τὰ τροπάρια Ἐκ παντοίων κινδύνων... Τῇ πρεσβείᾳ Κύριε πάντων τῶν ἁγίων. Δόξα καὶ νῦν Καὶ ἀπόλυσις : «Ὁ ἐν σπηλαίῳ γεννηθεὶς καὶ ἐν φάτνῃ ἀνακλιθείς, Χριστὸς ὁ ἀληθινὸς...ταῖς πρε-

αὐτὴν ἀπὸ τοῦ σωματικοῦ ρύπου καὶ τῶν ποικίλων αὐτῇ ἐπερχομένων σπλαγχνικῶν ἐνοχλήσεων. Καὶ ἔξαξον αὐτὴν διὰ τῆς ταχινῆς σου ἐλεημοσύνης ἐν τῷ ταπεινῷ αὐτῆς σώματι εἰς ἐπανόρθωσιν, καὶ τὸ ἐξ αὐτῆς κυηθὲν νήπιον ἀξίωσον προσκυνῆσαι τὸν ἐπίγειον ναόν, ὃν ἡτοίμασας εἰς τὸ δοξολογεῖσθαι τὸ ὄνομά σου τὸ ἅγιον. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ σου Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

σβείαις τῆς παναχράντου αὐτοῦ μητρός, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων καὶ πάντων τῶν ἁγίων ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος».

Ὁ *K*$_1$ ἐπιτάσσει εὐθὺς ὑπὸ τὴν ἐπιγραφὴν «εὐχὴ λεγομένη εἰς τὰς εὑρεθείσας γυναῖκας τῇ ὥρᾳ τῆς γεννήσεως» τὴν ἐν εὐχολογίῳ τοῦ Goar ἐν σελ. 263 εὐχήν:

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ περὶ τῶν ζώων ἐν τῇ ὀθόνῃ εἰπὼν Πέτρῳ τῷ ἀποστόλῳ καὶ κορυφαίῳ, ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου· καὶ πάντα τὰ μιαρὰ καὶ ἀκάθαρτα, καθαρὰ νομοθετήσας· αὐτὸς εὐλόγησον καὶ ἁγίασον τὰς δούλας σου ταύτας τὰς λαχούσας ἐν τῇ κυήσει τῆς δούλης σου τῆς δεῖνος· καὶ ἀξίωσον αὐτὰς ἀμέμπτως εἰσελθεῖν ἐν τῇ ἁγίᾳ σου ἐκκλησίᾳ· καὶ μεταλαβεῖν τῶν θείων σου καὶ ἀχράντων καὶ ζωοποιῶν μυστηρίων καὶ τῆς ἐπουρανίου σου βασιλείας ἀξιωθῆναι· καὶ δόξαν σοι ἀναπέμπομεν τῷ Πατρί...

Ἡ εὐχὴ αὕτη ἐν τῷ Q ἔχει ὡς ἕπεται:

Εὐχὴ ἑτέρα εἰς τὰς παρατυχούσας γυναῖκας εἰς λεχὼ

Κύριε, ὁ Θεὸς ἡμῶν ὁ τῷ κορυφαίῳ τῶν ἀποστόλων σου Πέτρῳ διὰ τῆς ἐμφανισθείσης αὐτῷ ὀθόνης καὶ τῶν τῆς γῆς ζώων κελεύσας τὰ μιαρὰ καὶ ἀκάθαρτα πάντα καθαρὰ νομοθετήσας καὶ μηδὲν κοινὸν ἢ ἀκάθαρτον ἡγεῖσθαι τῶν ὑπὸ σοῦ δημιουργηθέντων κτισμάτων, ἀλλὰ πάντα καθαρὰ τοῖς καθαροῖς εἶναι διὰ τῆς ἐπικλήσεως τοῦ ἁγίου σου ὀνόματος, αὐτός, Κύριε, ἵλεως γενοῦ ταῖς ἁμαρτίαις ἡμῶν κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου καὶ εὐλόγησον καὶ ἁγίασον τὰς δούλας σου ταύτας τὰς ἐπιτυχούσας ἐν τῇ κυήσει τῆς δούλης σου τῆσδε καὶ ἀξίωσον αὐτὰς ἀμέμπτως καὶ καθαρῶς εἰσελθεῖν ἐν τῇ ἁγίᾳ σου ἐκκλησίᾳ καὶ μεταλαβεῖν τῶν θείων σου μυστηρίων καὶ τῆς ἐπουρανίου σου βασιλείας ἀξιωθῆναι. Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις...

Ὁ *K*$_1$ μετὰ τὴν ἀνωτέρω εὐχὴν ἐπάγει καὶ τὰς ἑπομένας δύο:

Εὐχὴ τῆς μαίας

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῷ ἐνυποστάτῳ σου Λόγῳ τὰ πάντα ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παραγαγὼν καὶ τῷ θείῳ Πνεύματι ταῦτα τελειώσας, ὁ τῇ σῇ κελεύσει τὰς μαίας ἐν τῇ Αἰγύπτῳ τὰ βρέφη τῶν Ἑβραίων ζωογονούσας καὶ εὐλογήσας αὐτάς· οὕτω ποίησον, Κύριε ὁ Θεός, καὶ τὴν παροῦσαν λεχώ, καὶ τὴν μαίαν ταύτην εὐλόγησον, ἁγίασον, καθάρισον αὐτῆς τὸν ρύπον τοῦ σώματος καὶ τὸν σπίλον τῆς ψυχῆς, καὶ ἀξίωσον αὐτὴν διὰ τοῦ τιμίου πρε-

Τοῦ Κυρίου δεηθῶμεν

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ εὐδοκήσας κατελθεῖν ἐκ τῶν οὐρανῶν καὶ γεννηθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας διὰ τὴν σωτηρίαν ἡμῶν τῶν ἁμαρτωλῶν, ὁ γινώσκων τὸ ἀσθενὲς τῆς ἀνθρωπίνης φύσεως, συγχώρησον τῇ δούλῃ σου (τῇδε), τῇ τεξάσῃ σήμερον, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου· σὺ γὰρ εἶπας Κύριε· Αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς. Διὰ τοῦτο καὶ ἡμεῖς οἱ δοῦλοί σου δεόμεθα καὶ θαρροῦντες διὰ τῆς ἀνεξικάκου σου φιλανθρωπίας, φόβῳ βοῶμεν πρὸς τὸ τῆς βασιλείας σου Ἅγιον Ὄνομα· ἐπίβλεψον ἐξ οὐρανοῦ καὶ ἴδε τὴν ἀσθένειαν ἡμῶν τῶν καταδίκων, καὶ συγχώρησον τῇ δούλῃ σου (τῇ δε) καὶ παντὶ τῷ οἴκῳ, ᾧ ἐγεννήθη τὸ παιδίον· καὶ τοῖς ἁψαμένοις αὐτῆς καὶ τοῖς ἐνθάδε εὑρισκομένοις πᾶσιν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον· ὅτι μόνος ἔχεις ἐξουσίαν ἀφιέναι ἁμαρτίας. Πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων σου. Ἀμήν.

Ἡ ἀνωτέρω εὐχὴ ἀπαντᾷ μετά τινων διαφόρων γραφῶν ὡς ἑτέρα εὐχή, πρώτης τιθεμένης τοῦ κατωτέρω ὡς ἀφορκισμοῦ γ΄ παρατιθεμένου, ἐν τοῖς Ξ e. Ὡσαύτως καὶ ἐν τῷ ὑπ' ἀριθ. 19 (20) εὐχολογίῳ τοῦ Κωσταμονίτου (Ἄθω) τοῦ XV αἰῶνος (D. 491).

---

σβυτερίου τῆς εἰσόδου τοῦ ναοῦ σου. Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ πάντα, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν καὶ τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι...

Εὐχὴ ἑτέρα· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ μόνος ἀναμάρτητος, ὁ πλούσιος ἐν ἐλέει καὶ οἰκτιρμοῖς, ὁ μὴ βουλόμενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν, πρόσδεξαι καὶ τῆς δούλης σου (δεῖνα) τὴν μετάνοιαν καὶ ἴασαι τὰ συντρίμματα αὐτῆς, καὶ δὸς αὐτῇ μετὰ φόβου καὶ ἀγάπης προσελθεῖν τῇ ἁγίᾳ σου ἐκκλησίᾳ καὶ προσελθεῖν τοῖς ἀχράντοις σου μυστηρίοις καὶ ἀξίωσον αὐτὴν εὐαρέστως τοῦ δοξάζειν σε πάντοτε. Ὅτι ηὐλόγηται καὶ δεδόξασται... Τὴν τιμιωτέραν, καὶ γίνεται ἀπόλυσις.

**Β Δ Η Ι Κ Λ L Q Ψ Ξ Ο ᾶ ᾶ**

## ΕΥΧΗ ΕΙΣ ΤΟ ΚΑΤΑΣΦΡΑΓΙΣΑΙ ΠΑΙΔΙΟΝ ΛΑΜΒΑΝΟΝ ΟΝΟΜΑ ΤΗι ΟΓΔΟΗι ΗΜΕΡΑι ΤΗΣ ΓΕΝΝΗΣΕΩΣ ΑΥΤΟΥ

***Η*** 'Ιστέον ὅτι τῇ μετὰ τὴν γέννησιν ὀγδόῃ ἡμέρᾳ προσάγεται τῷ ναῷ παρὰ τῆς μαίας τὸ βρέφος εἰς τὸ λαβεῖν ὄνομα.

***Ο*** Τίθεται γοῦν παρ' αὐτῆς εἰς τὸ ἔδαφος. Ὁ δὲ ἱερεὺς πρὸ τῶν πυλῶν τοῦ ναοῦ λέγει Εὐλογητόν· τὸ Τρισάγιον· τὸ Παναγία Τριάς· Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. 'Απολυτίκιον τῆς ἡμέρας τυχὸν ἢ τοῦ λαχόντος ἁγίου. Τῇ πρεσβείᾳ, Κύριε.

***Η*** Ποιεῖ οὖν ὁ ἱερεὺς ἐπ' αὐτῶν τὴν εἰθισμένην εὐχὴν πρὸ τῶν τοῦ ναοῦ πυλῶν σφραγίζει αὐτοῦ τὸ μέτωπον καὶ τὸ στόμα καὶ τὸ στῆθος καὶ οὕτω ἀπολύει.

### Ἡ Εὐχή.

***Δ*** Εἰρήνη πᾶσι.

e ***Η Δ Ο*** τοῦ Κυρίου δεηθῶμεν

Κύριε ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν· Σημειωθήτω τὸ φῶς τοῦ προσώπου σου ἐπὶ τὸν δοῦλόν σου τόν δε καὶ σημειωθήτω ὁ σταυρὸς τοῦ μονογενοῦς σου Υἱοῦ ἐν τῇ καρδίᾳ καὶ τοῖς διαλογισμοῖς αὐτοῦ, εἰς τὸ φυγεῖν τὴν ματαιότητα τοῦ κόσμου καὶ πᾶσαν τὴν πονηρὰν ἐπιβουλὴν τοῦ ἐχθροῦ, ἀκολουθεῖν δὲ τοῖς προστάγμασί σου· καὶ δός, Κύριε, ἀνεξάρνητον μεῖναι τὸ ὄνομά σου τὸ ἅγιον ἐπ' αὐτόν, συναπτόμενον ἐν καιρῷ εὐθέτῳ τῇ ἁγίᾳ σου ἐκ-

---

'Ο Γ ἐπιγραφὴν «Εὐχὴ εἰς τὸ κατασφραγίσαι». 'Ωσαύτως πιθανώτατα καὶ ὁ Κ (δυσανάγνωστος). 'Ο Β τὴν εὐχὴν μονην, μετὰ τῆς ἐπιγραφῆς καὶ μετ' αὐτὴν τὴν ἐπακολουθοῦσαν σύντομον διάταξιν. 'Ο ***Ψ*** «Προσάγεται δὴ ἐν τῷ ναῷ παρὰ τῆς μαίας καὶ τὸ βρέφος ἐπὶ τοῦ λαβεῖν ὄνομα. 'Ανιστᾷ αὐτὸ ὁ ἱερεὺς ἔξω τῆς ἐκκλησίας πρὸ τῶν πυλῶν τοῦ ναοῦ καὶ ἐμφυσᾷ εἰς τὸ πρόσωπον αὐτοῦ σταυροειδῶς τρίς. 'Ομοίως καὶ κατασφραγίσας μετὰ τῆς χειρὸς τὸ μέτωπον, τὸ στόμα καὶ τὸ στῆθος. Εἶτα λέγει τὴν εὐχὴν ταύτην. Οἱ ***Κ*** ᾶ «ὀφείλει ποιῆσαι οὕτως. Ἔξω τῆς ἐκκλησίας ἐμφυσῆσαι εἰς τὸ πρόσωπον αὐτοῦ σταυροειδῶς τρὶς ὁμοίως καὶ κατασφραγίσαι μετὰ τῆς χειρὸς τρίτον». 'Ο ***Π*** ₆ «θέτει αὐτὸ ἔξω τῆς πύλης, ποιῶν σταυροὺς γ' Τοῦ Κυρίου δεηθῶμεν...»

Οἱ ***Δ*** Ι L εὐθὺς μετὰ τὴν ἐπιγραφὴν τὴν εὐχὴν καὶ μετ' αὐτὴν «Καὶ πληρῶν τὴν εὐχὴν σφραγίζει αὐτοῦ τὸ μέτωπον καὶ τὸ στῆθος καὶ τὸ στόμα καὶ ἀπολύει». 'Ο Β «καὶ πληρουμένης τῆς εὐχῆς σφραγίζει αὐτοῦ τὸ μέτωπον καὶ τὸ στῆθος καὶ τὸ στόμα» Καί ἐπακολουθεῖ ἡ εὐχὴ τῆς τεσσαρακοστῆς ἡμέρας.

---

*1 σοῦ δεόμεθα καὶ σὲ ἱκετεύομεν : Σημειωθήτω Β Γ* ***Δ Η*** *Ι* ***Κ Λ*** *L Ξ* ***Ο*** *3 τοῦ μονογενοῦς σου ἐν τῇ καρδίᾳ L 4 καὶ ἐν τοῖς διαλογισμοῖς Γ 4 τὴν ματαιότητα τοῦ κόσμου τούτου καὶ Ξ 5 τοῦ κόσμου καὶ τὴν πονηρὰν Ι πᾶσαν τὴν ἐπιβουλὴν Γ ἀκολουθεῖν δὲ καὶ τοῖς* ***Λ*** *6 καὶ δὸς αὐτὸν Κύριε Κ 7 τὸ ἅγιον ὄνομά σου Ξ ἐπ' αὐτῷ Γ* ***Κ Λ*** *Ξ τῆς ἁγίας σου ἐκκλησίας Β τῇ ἐκκλησίᾳ τῇ ἁγίᾳ καὶ τελειούμενον Ξ συναπτομένῳ.. τελειουμένῳ* ***Κ***

κλησίᾳ καὶ τελειούμενον διὰ τῶν φρικτῶν μυστηρίων τοῦ Χριστοῦ σου· ἵνα κατὰ τὰς ἐντολάς σου πολιτευσάμενος καὶ φυλάξας τὴν σφραγίδα ἄθραυστον τύχῃ τῆς μακαριότητος τῶν ἐκλεκτῶν ἐν τῇ βασιλείᾳ σου.

Χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

***Ο*** Εἶτα ἀνὰ χεῖρας λαβὼν τὸ παιδίον ἵσταται ἔμπροσθεν τῶν πυλῶν ἢ τῆς Ὑπεραγίας Θεοτόκου καὶ ποιῶν σταυροῦ τύπον: Χαῖρε κεχαριτωμένη Θεοτόκε Παρθένε, ἐκ σοῦ γὰρ ἀνέτειλε Χριστὸς ὁ Θεὸς ἡμῶν. Εἶτα λέγει τὴν εὐχὴν τῆς ἀπολύσεως.

***Η Λ Q Ο*** ἃ Δεῖ δὲ γινώσκειν ὅτι τὸ γεννηθὲν βρέφος, ἐὰν ἄρα καὶ ἀσθενοῦν μὴ θηλάζῃ, ἀλλὰ καὶ πρὸς θάνατον ἀφορᾷ, οὐ χρὴ περιμένειν, ὥς τινες κακῶς φασι, τὴν πέμπτην ἡμέραν ἢ τὴν ἕκτην καὶ οὕτω βαπτίζειν αὐτό, ἀλλὰ τῇ ὥρᾳ, ᾗ ἐγεννήθη, μόνον ἀποπλυθῆναι καὶ εὐθὺς βαπτισθῆναι, ἵνα μὴ τελευτήσῃ ἀφώτιστον. Εἰ γὰρ αἱ πέντε μῆνας ἐγκυμονοῦσαι, εἰ τύχοι ἀπό τινος πληγῆς τὸ ἔμβρυον ἐκτρῶσαι, φόνου δίκῃ κατὰ τοὺς νόμους καὶ τοὺς κανόνας ἐνέχονται, πολλῷ μᾶλλον τὸ κρῖμα δεῖ ἐκφεύγειν τῶν γεννωμένων, ἵνα μὴ ἀφώτιστα τελευτῶσι.

***Λ*** Ὁ ἀναγινώσκων νοείτω.

---

Ὁ ***Λ*** πρὸ τῆς εὐχῆς τὴν ἐπιγραφὴν καὶ τυπικὴν διάταξιν τοῦ ***Η*** μέχρι τοῦ «...πρὸ τῶν τοῦ ναοῦ πυλῶν». Μετὰ τὴν εὐχήν: «Καὶ εὐθὺς σφραγίζει αὐτοῦ τὸ μέτωπον, τὸ στόμα καὶ τὸ στῆθος τῇ σφραγῖδι τοῦ ζωοποιοῦ σταυροῦ ἐπιλέγων καὶ τὸ τῆς τῆς ἁγίας Τριάδος ὄνομα καὶ οὕτως ἀπολύει».

Ὁ ***$K_1$*** ἐπισυνάπτει πρὸς τὴν εὐχὴν ταύτην τὴν εὐχὴν «Ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ διὰ τοῦ μεγαλοφωνοτάτου τῶν προφητῶν...» (ἴδε κατωτέρω) Καὶ μετ' αὐτὴν προσθέτει τὰ ἑξῆς:

«Λαβὼν δὲ ὁ ἱερεὺς τὸ παιδίον ἐκ τῶν ἀγκαλῶν τῆς μαίας, ἵσταται πρὸ τῶν πυλῶν τοῦ ναοῦ λέγων τὸν Ψαλμόν· Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε... ἕως τὸ εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, προσκυνήσω πρὸς ναὸν τὸν ἅγιόν σου Κύριε. Καὶ εἰσέρχεται μέσον τοῦ ναοῦ, λέγων· Χαῖρε, κεχαριτωμένη Θεοτόκε παρθένε...Καὶ λαβὼν ὁ ἱερεὺς ἐκ τῆς κανδήλας ἔλαιον ἅγιον, χρίει τὸ μέτωπον τοῦ παιδὸς λέγων· Χρίεται ὁ δοῦλος τοῦ Θεοῦ ἔλαιον ἀγαλλιάσεως, τὸν ἀρραβῶνα τοῦ ἁγίου βαπτίσματος, εἰς τὸ ὄνομα τοῦ Πατρός...

Εἶτα ἐπιδίδει τὸ παιδίον τῇ μαίᾳ λέγων· Εἰρήνη πᾶσι· Τὰς κεφαλὰς ὑμῶν. Εὐχή. Κύριε ὁ Θεὸς ἡμῶν ὁ ἐν τεσσαράκοντα ἡμέραις τοῦ νόμου...Εἶτα σφρα-

---

*8 διὰ τῶν φρικτῶν τοῦ Χριστοῦ μυστηρίων* ***Ψ*** *9 πολιτευσάμενον* ***Ξ*** *10 ἄθραυστον καὶ αὐξήσας τὴν παρακαταθήκην τῆς χάριτος τύχῃ* ***Ξ*** *ἄθραυστον καὶ διατηρήσας τὸν χιτῶνα ἀμόλυντον τύχῃ* ***Κ Ψ Δ*** *τῆς μακαρίας τῶν ἐκλεκτῶν σου Χάριτι* ***Ξ*** *τῶν ἐκλεκτῶν σου Χάριτι* ***Β Δ Ι Λ Ο*** *τῶν ἐκλεκτῶν σου ἐν τῇ βασιλείᾳ σου* ***Κ Ψ.***

*Ἐκφώνησις* ***Γ Κ Η*** *Εὐδοκίᾳ καὶ χάριτι τοῦ μονογενοῦς σου* ***Κ Ψ*** *καὶ φιλανθρωπίᾳ τοῦ Χριστοῦ σου μεθ' οὗ* ***Η Ο***

γίζει τὸ μέτωπον τοῦ παιδὸς καὶ τὸ στόμα καὶ τὸ στῆθος καὶ ποιεῖ ἀπόλυσιν καὶ ἐξέρχεται.

Ὁ $Π_6$ εὐθὺς μετὰ τὴν εὐχὴν «Κύριε ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα» ἐπάγει: «Καὶ λαβὼν ὁ ἱερεὺς τὸ νήπιον ψάλλει τροπάριον ἦχ. α' Χαῖρε κεχαριτωμένη, Θεοτόκε Παρθένε. Καὶ λαβὼν ἔλαιον, ποιεῖ σταυροῦ τύπον ἐπὶ τὸ μέτωπον καὶ τὸ στῆθος. Εὐχὴ ἑτέρα. Τοῦ Κου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν ἡμέραις τεσσαράκοντα τοῦ νόμου...»

Οἱ Ξ Π παρατηροῦσιν ὅτι: «Αὕτη ἡ εὐχὴ λέγεται καὶ τῇ λεγχούσῃ μετὰ τὸ μ'».

Ὁ $Π_9$ μετὰ τὴν Κύριε ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν... τὴν «εὐχὴν τῆς μητρὸς τοῦ παιδίου· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καθαρίσας ἡμᾶς διὰ τῆς ἐνσάρκου σου οἰκονομίας...Καὶ ποιεῖ ἀπόλυσιν. Οὐ μέντοι τὸ σύνολον βάλλει τὸ παιδίον εἰς τὴν ἐκκλησίαν· τοῦτ' ἔστι δὲν ἐμπάζει τὸ παιδίον ἔσω εἰς τὴν ἐκκλησίαν οὐδὲ ποσῶς ἕως τεσσαράκοντα ἡμέρας».

---

Ἐν τῷ *Λ* εὕρηται καί:

***Εὐχὴ εἰς κάθαρσιν γυναικὸς τῇ ὀγδόῃ ἡμέρᾳ τῆς γεννήσεως αὐτῆς.***

Εἰρήνη πᾶσι· τοῦ Κυρίου δεηθῶμεν.

Δέσποτα Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ ἀληθινὸς ἄρτος τῆς ζωῆς ἡμῶν, ὁ καθαρίσας καὶ ἁγιάσας καὶ ἀναγεννήσας ἡμᾶς τοὺς ἀναξίους δούλους σου διὰ τῆς ἐνσάρκου οἰκονομίας εὐλογεῖν καὶ ἁγιάζειν τοὺς προσερχομένους τῷ ὀνόματί σου τῷ ἁγίῳ, αὐτός, Κύριε ὁ Θεὸς ἡμῶν, ἁγίασον καὶ τὴν δούλην σου ταύτην καὶ καθάρισον αὐτὴν ἐκ τοῦ ἐπελθόντος αὐτῆς σωματικοῦ μολυσμοῦ σαρκὸς καὶ πνεύματος διὰ τῆς ὀκταημέρου καθάρσεως, ὥστε ἁγιασθῆναι αὐτὴν καὶ τὴν ζύμην τῶν χειρῶν αὐτῆς, ἀνεμποδίστως διατρέφειν πάντας τοὺς ἐν τῷ οἴκῳ αὐτῆς ἀξίωσον κατὰ τὸ σὸν ἅγιον θέλημα, ἵνα διὰ παντὸς δοξάζειν σε τὸν μόνον ἀληθινὸν Θεὸν ἡμῶν καὶ τὸν μονογενῆ σου Υἱὸν καὶ τὸ πανάγιον Πνεῦμα νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Τὴν ἀνωτέρω εὐχὴν τοῦ *Λ* καὶ ὁ $σ_8$ ὡς λεγομένην ἐὰν δὲν ζῇ τὸ βρέφος.

## e ΑΚΟΛΟΥΘΙΑ ΕΙΣ ΤΟ ΣΑΡΑΝΤΙΣΑΙ ΓΥΝΑΙΚΑ

***Η Δ*** Ϙ ***Ο*** ἅ Τῇ τεσσαρακοστῇ ἡμέρᾳ πάλιν προσάγεται τῷ ναῷ ἐπὶ τῷ ἐκκλησιασθῆναι εἴ τουν ἀρχὴν λαβεῖν τοῦ εἰσάγεσθαι εἰς τὴν ἐκκλησίαν. Προσάγεται δὲ παρὰ τῆς μητρός, ἤδη κεκαθαρμένης καὶ λελουμένης παρόντος καὶ τοῦ μέλλοντος ἀναδέχεσθαι τοῦτο κατὰ τὸ βάπτισμα.

***Ο*** Ὁ δὲ ἱερεὺς λέγει Εὐλογητόν· τὸ Τρισάγιον συνήθως. Ἀπολυτίκιον τῆς ἡμέρας τυχὸν ἢ τοῦ λαχόντος ἁγίου. Δόξα καὶ νῦν. Τῇ πρεσβείᾳ, Κύριε πάντων τῶν ἁγίων.

***Η Δ*** Ϙ Ο Καὶ κλινούσης ταύτης τὴν κεφαλὴν ἅμα καὶ τῷ βρέφει πρὸς τὴν πύλην, τὴν τοῦ σταυροῦ σφραγίδα ποιεῖ ὁ ἱερεύς, ἁπτόμενός τε τῆς κεφαλῆς αὐτῆς λέγει εὐχὴν οὕτω

### Γ Εὐχὴ ἣν λαμβάνει ἡ γυνὴ ὅτε πληρώσει τὰς μ' ἡμέρας τῆς γεννήσεως

***Ψ*** Ποιεῖ ὁ ἱερεὺς κατὰ τὸ σύνηθες. Εἶτα λέγει

Εἰρήνη πᾶσι

***Η Δ Ψ*** Ϙ ***Ο*** τοῦ Κυρίου δεηθῶμεν

1 Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ, ὁ πᾶσαν φύσιν λογικήν τε καὶ ἄλογον διὰ τοῦ Λόγου σου
δημιουργήσας· ὁ πάντα ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγών, σοῦ
4 δεόμεθα καὶ σὲ παρακαλοῦμεν· ἣν τῷ σῷ θελήματι διέσωσας δούλην

Ὁ ᾶ «...Ὅτι σοῦ ἐστιν. Καὶ οὕτως τὰ τροπάρια ταῦτα Ἦχ. α' Χαῖρε κεχαριτωμένη...τὴν ἀνάστασιν Καὶ τὸ κοντάκιον ἦχ. α' Ὁ μήτραν...Καὶ μετὰ τουτο τίθεται τὸ βρέφος πρὸ τῶν θυρῶν τοῦ ναοῦ ἐν τῷ νάρθηκι. Ἡ δὲ μήτηρ αὐτοῦ κλίνας τὴν κεφαλὴν πρὸς τὸν ἱερέα κρατῶν καὶ τὸ ἑαυτῆς βρέφος. Ὁ δὲ ἱερεὺς ποιῶν τὴν τοῦ σταυροῦ...λέγει τὴν εὐχὴν μεγαλοφώνως...

*ᾶ Ἀκολουθία περὶ τοῦ σαραντισμοῦ* *e Ἀκολουθ. τοῦ σαραντισμοῦ βρέφει πρὸ τῶν πυλῶν τοῦ ναοῦ κατὰ τὴν τοῦ* ***Λ***

*Εὐχὴ εἰς τὸ σαραντῆσαι γυναῖκα* ***Ψ*** *Εὐχὴ εἰς τὸ ἐκκλησιάσαι γυναῖκα* ***Κ****.*

*1 Δέσποτα Κύριε* ***ΛΚΓ*** *Θεὸς ἡμῶν ὁ παντοκράτωρ* ***Λ*** *Κύριε ὁ Θεὸς ἡμῶν σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν καὶ σὲ ἱκετεύομεν· αὐτὸς οὖν ὁ Πατὴρ* ***Η Ο Δ*** Ϙ ***Ψ****ᾶ Κύριε ὁ Θεὸς ἡμῶν ὁ πᾶσαν* ***Ξ*** *τοῦ Κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰ. Χριστοῦ* ***ΛΚ*** *2 λογικὴν καὶ νοερὰν δημιουργήσας τῷ Λόγῳ σου* ***Ξ*** *ἄλογον δημιουργήσας* ***Γ*** *ὁ πᾶσαν λογικήν τε καὶ ἄλογον φύσιν τῷ Λόγῳ σου δημιουργήσας καὶ τὰ πάντα ἐκ μὴ ὄντων* ***ΗΔϘΚΨΟ*** *3 ὁ τὰ πάντα ἐκ τοῦ μὴ ὄντος παραγαγὼν δεόμεθα καὶ παρακαλοῦμέν σε ὅτι τῷ σῷ* ***Γ*** *τὰ πάντα παραγαγὼν* ***Κ*** *λόγῳ σου καὶ ἐξ οὐκ ὄντων παραγαγὼν τὰ σύμπαντα δεόμεθά σου* ***Ξ*** *εἰς εἶναι* ***Ψ*** *4 παραγαγὼν δεόμεθα καὶ παρακαλοῦμέν σε τὴν δούλην σου ἣν* ***Λ*** *καὶ παρακαλοῦμεν ὅτι τὸ σὸν θελήματι* ***Ξ*** *παραγαγὼν ὁ καὶ τὴν δούλην σου τήν δε τῷ σῷ θελήματι διασώσας καθάρισον αὐτὴν ἀπὸ παντὸς ῥύπου καὶ πάσης ἁμαρτίας προσερχομένην* ***ΗϘΨΟ*** *δεόμεθα καὶ παρακαλοῦμέν σε ὁ τῷ θελήματί σου διασώσας τὴν δούλην σου ταύτην* ***Κ*** *5 καθάρισον αὐτὴν ἀπὸ παντὸς ῥύπου* ***Ξ*** *καθάρισον αὐτὴν ἀπὸ πάσης* ***ΛΚ*** *καὶ παντὸς ῥύπου* ***Κ*** *καθάρισον αὐτὴν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος. Καὶ ἄφελε αὐτῆς τὰ ἁμαρτήματα καὶ πάντα ῥύπον προσερχομένην* ***Γ****.*

σου (τήν δε) καθάρισον ἀπὸ πάσης ἁμαρτίας καὶ ἀπὸ παντὸς ρύπου, προσερχομένην τῇ ἁγίᾳ σου ἐκκλησίᾳ, ἵνα ἀκατακρίτως ἀξιωθῇ μετασχεῖν τῶν ἁγίων σου μυστηρίων.

***Δ*** Καὶ εἰ μέντοι ζῇ τὸ παιδίον, λέγει τὴν εὐχὴν ὅλην. Εἰ δὲ ἐτελεύτησε, λέγει ταύτην ἕως ὧδε.

Καὶ τὸ ἐξ αὐτῆς τεχθὲν παιδίον εὐλόγησον, αὔξησον, ἁγίασον, συνέτισον, σωφρόνισον, καλοφρόνισον· ὅτι σὺ παρήγαγες αὐτό, καὶ ἔδειξας αὐτῷ τὸ φῶς τὸ αἰσθητόν, ἵνα καὶ τοῦ νοητοῦ καταξιωθῇ φωτὸς ἐν καιρῷ ᾧ προώρισας καὶ συγκαταριθμηθῇ τῇ ἁγίᾳ σου ποί-

---

Ὁ ***Σ₄*** τὴν ἀνωτέρω εὐχὴν ὑπὸ τὴν ἐπιγραφὴν «Εὐχὴ εἰς τὸ ἐκκλησιάσαι γυναῖκα ἤγουν μετὰ τὸ σαραντῆσαι».

Ὁ ***Κ*** ὑπὸ τὴν ἐπιγραφήν· Εὐχὴ εἰς τὸ σαραντ. γυν. ἔχει τὴν εὐχήν: Κύριε ὁ Θεὸς ἡμῶν ὁ παραγενόμενος. Τὴν αὐτὴν καὶ ὁ Γ ὑπὸ τὴν ἐπιγραφὴν Εὐχὴ εἰς τὸ ἐκκλ. γυν. Τὴν αὐτὴν καὶ ὁ ***Σ₃*** ὑπὸ τὴν ἐπιγραφὴν Εὐχὴ εἰς τὸ ἐκκλ. γυναῖκα εἰς τὰς μ′ ἡμέρας. [Ἡ ἀνωτ. εὐχὴ παραλείπεται ὑπὸ τῶν ΒΔΙ***Κ***L]. Ὁ ᾶ ἀντὶ τῆς ἀνωτέρω ἔχει τὴν εὐχὴν εἰς τὸ κατασφραγῖσαι καὶ μετ' αὐτὴν τήν: Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος.. μεθ' ἣν τὴν ἐν σελ. 627 διάταξιν «Εἶτα τὸ παιδίον...» καὶ τὴν εὐχὴν Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τεσσαράκοντα... Ὁ ε παραλείπων τὰς διατάξεις παραθέτει καὶ τὰς τρεῖς εὐχὰς κατὰ τὴν ἐν τῷ ἐντύπῳ σειρὰν προσθέτων μετὰ τὴν τελευταίαν «Καὶ σφραγίζει αὐτὸ ἐκ τρίτου καὶ οὕτως ὁ ἀνάδοχος προσκυνεῖ γ'. καὶ λαμβάνει αὐτὸ καὶ δίδωσι τῇ μητρὶ καὶ ἐξέρχονται· καὶ γίνεται ἀπόλυσις».

Ὁ e παραθέτει διὰ δευτέραν φορὰν τὴν εὐχὴν Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος... Εἶτα τὴν εὐχὴν Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ Πατήρ..· μεθ' ὃ ἡ διάταξις «Καὶ εἰ μὲν ἔνι τὸ παιδίον μαζῇ, λέγει καὶ τὴν εὐχὴν ταύτην, ἥ ἐστιν εἰς τὸ ἐκκλησιάσαι· Κύριε ὁ Θεὸς ἡμῶν ὁ ἐν τεσσαράκοντα... Εἰ δὲ καὶ μόνη ἡ γυνή, ποίησον ἀπόλυσιν». Ἕπεται ἡ εὐχὴ εἰς τὸ κατασφραγίσαι.

Ὁ ᾶ μετὰ τὴν ὄπισθεν διάταξιν τὰς εὐχάς: Κύριε ὁ Θεὸς ἡμῶν ὁ μετὰ τὴν ἐκπλήρωσιν τῶν τεσσαράκοντα ἡμερῶν κατὰ τὸν νόμον εἰς τὸ ἱερὸν ἀνελθών... Εἶτα λέγει ὁ ἱερεὺς Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν. Καὶ αὖθις ἐπεύχεται· Κύριε ὁ Θεὸς ὁ παραγενόμενος... Εἶτα ἡ διάταξις «Εἶτα τὸ παιδίον αὐτό...» καὶ ἡ ἐπακολουθοῦσα ταύτῃ εὐχή.

---

*6 Ἵνα ἀκατακρίτως ἀξιωθῇ τῶν ἁγίων σου μυστηρίων* **Ω Ψ Ο** *ἀξιωθείη Γ καταξιωθῇ Ξ ἐκκλησίᾳ καὶ καταξίωσον αὐτὴν ἀκατακρίτως μετασχεῖν Δ 7 τῶν ἀχράντων σου μυστηρίων Δ τῶν φρικτῶν σου μυστηρίων Ξ 10 μυστηρίων καὶ τὸ ἐξ αὐτῆς γενόμενον παιδίον Ξ μυστηρίων. Καὶ τοῦτο δὲ τὸ ἐξ αὐτῆς γεγεννημένον παιδίον εὐλόγησον, ἅγιασον αὔξησον, συνέτισον, ὅτι σὺ* **Η Δ Ω Ψ Ο** *Καὶ τὸ ἐξ αὐτῆς γεγεννημένον παιδίον Κ Γ αὔξησον καὶ σωφρόνισον Ὅτι Ξ παιδίον εὐλόγησον ὅτι σὺ Κ αὔξησον καλοφρόνησον Γ 11 ὅτι οὐ παρήγαγες αὐτῶν τὴν σκιὰν ἀλλ' ἔδειξας αὐτῷ τὸ φῶς, ἵνα καὶ τοῦ σοῦ φωτισμοῦ καταξιώσῃς αὐτῷ ἐν Ξ 12 καὶ ἔδειξας τὸ φῶς τὸ αἰσθητόν αὐτὸς καὶ τοῦ νοητοῦ φωτὸς ἀξίωσον, ἵνα ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατοῦν καταξιωθῇ ποιεῖν τὰς ἐντολάς σου σὺν τῷ Πατρὶ καὶ τῷ Υἱῷ. Κ παρήγαγες αὐτό, τὸ φῶς τὸ αἰσθητὸν ἵνα* **Ψ Ο** *παρήγαγες αὐτῷ τὸ φῶς* **Ο** *νοητοῦ καὶ αἰωνίου φωτὸς καταξιώσῃς αὐτὸ ἐν καιρῷ Δ νοητοῦ φωτὸς καταξιώσῃς Γ 13 ἐν καιρῷ ᾧ ὥρισας συγκαταριθμῆσαι Ξ συγκα-*

μνῃ διὰ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Η** ᾱ Ϙ **Ψ Ο** Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν.

**Η** Καὶ αὖθις ἐπεύχεται οὕτως

**Δ** Τοῦ Κυρίου δεηθῶμεν

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, παραγενοῦ καὶ ἐπὶ τὴν δούλην σου (τήνδε), καὶ καταξίωσον αὐτὴν διὰ τῶν εὐχῶν τοῦ τιμίου πρεσβυτερίου καταφυγεῖν ἐν τῇ ἁγίᾳ σου καθολικῇ ἐκκλησίᾳ καὶ τυχεῖν τῆς εἰσόδου τοῦ ναοῦ τῆς δόξης σου. Καὶ ἀξίωσον αὐτὴν μεταλαβεῖν τοῦ τιμίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ σου. Ἀπόπλυνον αὐτῆς τὸν ῥύπον τοῦ σώματος καὶ τὸν σπίλον τῆς ψυχῆς, ἐν τῇ συμπληρώσει τῶν τεσσαράκοντα ἡμερῶν· ὅπως ἀξιωθεῖσα εἰσελθεῖν ἐν τῷ ἁγίῳ ναῷ σου δοξάσῃ σὺν ἡμῖν τὸ πανάγιον ὄνομα σοῦ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

*ταρίθμησον αὐτῷ τῇ ἁγίᾳ* **Γ** *συγκαταριθμήσῃς αὐτὸ τῇ* **Δ** *14 ποίμνῃ ἐν ᾗ ἐπικέκληται τὸ ὄνομα τοῦ μονογενοῦς* **Δ** *ποίμνῃ διὰ τῆς χάριτος τοῦ μονογενοῦς σου* **Ξ** *μεθ' οὗ σοι δόξαν ἀναπέμπομεν τῷ Πατρὶ* **Γ** *Πνεύματι πάντοτε νῦν* **Η**

*Ὁ* ᾱ *Καὶ λέγει τὴν εὐχὴν ταύτην μυστικῶς Κύριε ὁ Θεὸς ἡμῶν... Ὁ* **Δ** *ἐπιγράφει τὴν εὐχὴν ταύτην «Εὐχὴ ἐπὶ τὸ αὐτὸ εἰς γυναῖκα ἐλθοῦσαν ἐν τῷ ναῷ μετὰ σαράκοντα ἡμέρας». Ὁ* **Κ** *ἐπιγράφει «εὐχὴ εἰς τὸ σαραντῆσαι γυναῖκα» Ὁ* **Ξ** *ἐπιγράφει «εὐχὴ μετὰ τὸ ὀκταήμερον τῆς μαίας» [Τὴν εὐχὴν παραλείπουσιν οἱ Β Ι, Κ Ι Δ].*

*1 Δέσποτα Κύριε* **Γ** *2 τῶν ἀνθρώπων ἔπιδε ἐπὶ τήνδε τὴν δούλην σου καὶ δὸς αὐτὴν καταφυγεῖν τῇ ἁγίᾳ σου* **Γ Ξ** *τῶν ἀνθρώπων ἔπιδε ἐπὶ τὴν δούλην σου τήν δε καὶ δὸς αὐτὴν τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ καὶ τὴν μετάληψιν τοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ. Καὶ ἀπόπλυνον* **Δ** *ἔπιδε ἐπὶ τὴν δούλην σου τήνδε τὴν καταξιωθεῖσαν καταφυγεῖν τῇ ἁγίᾳ σου* **Κ** *3 διὰ τοῦ τιμίου σου πρεσβυτερίου τῆς εἰσόδου τοῦ ναοῦ* **Η Ϙ** *4 ἐκκλησίᾳ, ἵνα ἀκατακρίτως μεταλαμβάνῃ τῶν ἁγιασμάτων σου· Καὶ ἀπόπλυνον* **Ξ** *καθολικῇ ἐκκλησίᾳ, ἵνα ἀκατακρίτως μεταλάβῃ αὐτὴ τοῦ ἁγίου σώματος τοῦ Χριστοῦ σου. Ἀπόπλυνον* **Γ** *καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ. Καὶ ἀπόπλυνον* **Κ** *5 τῆς δόξης σου. Ἀπόπλυνον* **Η Ϙ Ψ Ο** *7 τὸν σπίλον τοῦ σώματος καὶ τὸν ῥύπον τῆς ψυχῆς διὰ τὴν ἄφιξιν τῶν τεσσαρ. ἡμερῶν καὶ διὰ τῶν εὐχῶν τῶν ἱερέων γενέσθαι αὐτὴν ἀξίαν ναοῦ καὶ δόξης. Ὅτι ἡγίασται* **Ξ** *καὶ σπίλον τῆς ψυχῆς* **Ψ** *τὸν σπίλον τῆς ψυχῆς διὰ τὴν ἄφιξιν τῶν τεσσαράκοντα ἡμερῶν καταξιωθῆναι εἰσελθεῖν αὐτὴν καὶ γενέσθαι ἀξίαν τοῦ ἁγίου σου ναοῦ. Ἐκφών. Ὅτι πρέπει σοι* **Γ** *ψυχῆς διὰ τὴν ἄφιξιν τῶν τεσσαράκοντά σου ἡμερῶν καὶ καταξίωσον* **Κ** *τῆς ψυχῆς παρέχων τὴν ἄφεσιν τῶν πλημμελημάτων αὐτῆς τῶν ἐπιγεγονότων διὰ τῶν τεσσαράκοντα ἡμερῶν. Καὶ καταξίωσον* **Δ** *8 ἡμερῶν ποιῶν ἀξίαν τῆς μεταλήψεως τοῦ τιμίου σώματος καὶ αἵματός σου* **Η Ϙ Ο** ᾱ **Ψ** *ναοῦ καὶ δόξης καὶ κοινωνῆσαι* **Δ** *καὶ δόξης καὶ κοινωνήσει* **Κ** *9 τῶν ἀχράντων καὶ ζωοποιῶν* **Κ Δ** *ζωοποιῶν σου μυστηρίων Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν Χριστὲ ὁ Θεὸς καὶ σοὶ τὴν δόξαν... σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ* **Κ** *μυστηρίων τοῦ Χριστοῦ σου. Ὅτι ἡγίασται καὶ δεδόξασται* **Δ** *αἵματός σου. Ἐκφών. Ὅτι ἡγίασται καὶ δεδόξασται* **Η** *Ὅτι ηὐλόγηται καὶ δεδόξασται* **Ϙ Ψ Ο** ᾱ.

**Η Ο** ἃ Εἶτα τὸ παιδίον αὐτὸ μετὰ χεῖρας λαμβάνων ὁ ἱερεὺς εἰς τὸ θυσιαστήριον ἀπάγει καὶ ἐπιτιθεὶς τὸ στόμα τούτου παρ' ἑκατέρᾳ τῶν ἁγίων θυρῶν ἐν σχήματι ἀσπασμοῦ, τὸ αὐτὸ δὲ ποιῶν καὶ εἰς τὴν ἁγίαν τράπεζαν σχηματίζει αὐτὸ ὡς προσκυνοῦν. Καὶ εἰ μὲν ἄρρεν ἐστὶ περιέρχεται τρίτον τὴν ἁγίαν τράπεζαν καὶ κατὰ τὰ τέσσαρα μέρη ταύτης τελεῖ τὸ σχῆμα τῆς προσκυνήσεως. Εἰ δὲ θῆλυ, εἰς μὲν τὸ ἔμπροσθεν οὐκ ἄπεισι μέρος, εἰς ἕκαστον δὲ τῶν λοιπῶν τριῶν ἐκ τρίτου παραγίνεται καὶ τελεῖ τὴν προσκύνησιν. Τούτων δὲ γινομένων λέγει καθ' ἑαυτὸν ὁ ἱερεὺς τὸ Νῦν

---

Ὁ *Ψ* Καὶ λαβὼν ὁ ἱερεὺς μετὰ χεῖρας αὐτοῦ τὸ παιδίον [εἰς τὸ σημεῖον τοῦτο παρεμβάλλεται ἡ Εὐχὴ εἰς τὸ κατασφραγίσαι... Ἴδε ἐν σελ. 621. Ἕνεκα τούτου ὁ γραφεὺς παραπέμπει διὰ τὴν συνέχειαν «Γύρησαι ἔμπροσθεν φύλλα β νὰ εὕρις τὴν Γ' εὐχὴν κατὰ τὴν ἑρμηνείαν αὐτῆς»] καὶ ὑπάγει αὐτὸ εἰς τὸ θυσιαστήριον καὶ εἰ μὲν ἔστι ἄρρεν τὸ παιδίον εἰσέρχεται μετ' αὐτοῦ ὁ ἱερεὺς εἰς τὸ ἅγιον βῆμα καὶ ποιεῖ σχῆμα προσκυνήσεως τὰ τέσσαρα μέρη τῆς ἁγίας τραπέζης ἤγουν σταυροειδῶς. Ἔπειτα ἐξέρχεται καὶ ἐπιτίθησι τὸ στόμα αὐτοῦ παρ' ἑκατέρᾳ τῶν ἁγίων θυρῶν ἐν σχήματι ἀσπασμοῦ. Τούτων δὲ γινομένων λέγει καθ' ἑαυτὸν ὁ ἱερεὺς τὸ Νῦν ἀπολύεις... ἐν εἰρήνῃ. Ὡς αὐτοῦ Καὶ μετὰ ταῦτα...

Ὁ *Δ* προτάσσει τὴν εὐχὴν Ὁ Θεός, ὁ πατὴρ ὁ παντοκράτωρ (περὶ ἧς κατωτέρω) καὶ μετ' αὐτὴν «Διάταξις. Εἶτα εἰσφέρει αὐτὸ ὁ ἱερεὺς τὸ παιδίον εἰς τὴν ἐκκλησίαν, αὐτὸς μετὰ χεῖρας, εἰς τὸ θυσιαστήριον ἐπάγει ψάλλων Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε, ἕως τοῦ προσκυνήσω πρὸς ναὸν τὸν ἅγιόν σου. Καὶ ἐπιθεὶς τὸ στόμα αὐτοῦ παρ' ἑκατέρᾳ τῶν ἁγίων θυρῶν...

Ὁ *Κ* Ὀφείλει φέρειν αὐτὸ εἰς τὰς ὡραίας πύλας βασταζόμενον ὑπὸ γυναικὸς καὶ ἐμφυσῆσαι εἰς τὸ πρόσωπον αὐτοῦ σταυροειδῶς τρίτον καὶ σφραγίσαι τῇ χειρὶ τρίτον καὶ εἰπεῖν:

Ὁ $Π_8$ «...Καὶ εἰ μὲν ἔστιν ἄρσεν ψάλλει ἰδιόμελον ἦχ. πλ. β' Ἀνοιγέσθω ἡ πύλη τοῦ οὐρανοῦ... Εἰ δὲ ἔστι τὸ παιδίον θῆλυ, λέγει ἦχ. πλ. δ'. Μετὰ τὸ τεχθῆναί σε, θεόνυμφε Δέσποινα, παρεγένου ἐν ναῷ Κυρίου.., Καὶ φέρει αὐτὸ ἔνδον τοῦ ναοῦ ψάλλων τὸν ε' ψαλμὸν Τὰ ῥήματά μου... ἕως τοῦ Προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου. Καὶ προσκυνεῖ εἰς τὰς δ' γωνίας τῆς ἐκκλησίας. Εἶτα εἰσέρχεται ὁ ἱερεὺς μετὰ τοῦ παιδίου εἰς τὸ ἅγιον βῆμα καὶ κυκλοῖ αὐτὸ γύρωθεν τοῦ βήματος. Εἶθ' οὕτως ἐξέρχεται καὶ τίθησιν αὐτὸ ἔμπροσθεν τῶν ἁγίων θυρῶν ὕπτιον, Εἶτα ποιεῖ ἡ μήτηρ αὐτοῦ μετανοίας μ' καὶ λέγει ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην εἰς τὸ παιδίον. Εἰρήνη πᾶσι. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε, παντοκράτορ, ὁ μόνος δημιουργὸς καὶ Σωτὴρ τοῦ γένους τῶν ἀνθρώπων, δεόμεθά σου καὶ ἱκετεύομεν· καταξίωσον τὸν δοῦλόν σου (δεῖνα) τῆς χάριτος καὶ τῆς θεογνωσίας, αὔξησον τῇ πίστει καὶ δικαιοσύνῃ. Καὶ λαμβάνει ὁ ἱερεὺς ἅγιον ἔλαιον ἐκ τῆς κανδήλας τῆς Θεοτόκου καὶ σφραγίζει αὐτὸ τύπον σταυροῦ καὶ λέγων· Σημειωθήτω ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, εἰς τὸ ὄνομα τοῦ Πατρός... Εἶτα τὴν εὐχὴν Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐπὶ σωτηρίᾳ... Καὶ ἀπόλυσις.

Ὁ $σ_8$ «...Εἰ δὲ ἔστι θῆλυ, ποιεῖ οὕτως ἔξω τῶν ἁγίων θυρῶν εἰς τὰς ἁγίας εἰκόνας λέγων Νῦν ἀπολύεις... ἕως τοῦ φῶς εἰς ἀποκάλυψιν».

Ὁ ᾱ μετὰ τὴν εὐχὴν Κύριε ὁ Θεὸς ἡμῶν ὁ παραγενόμενος καὶ τὴν ἐκφώνησιν προσθέτει: «Βλέπε, ὦ πρεσβύτερε. Καὶ εὐθὺς λαμβάνει...ἀσπασμοῦ τού-

ἀπολύεις καὶ μετὰ ταῦτα τίθησι τὸ παιδίον ἐπὶ τὰς θύρας τοῦ θυσιαστηρίου καὶ λέγει·

***K*** Εὐχὴ εἰς τὸ εἰσελθεῖν παιδίον ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ πληροῦν ἡμέρας μ΄.

***H K Q O Ψ*** Τοῦ Κυρίου δεηθῶμεν

***H*** Καὶ εὐθὺς ἡ εὐχή:

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τεσσαράκοντα ἡμέραις βρέφος τῷ νομικῷ ναῷ προσαχθεὶς ὑπὸ Μαρίας τῆς ἀπειρογάμου καὶ ἁγίας σου Μητρὸς καὶ ἐν ταῖς ἀγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθείς· αὐτός, δέσποτα παντοδύναμε, καὶ τὸ προσαχθὲν τοῦτο βρέφος ἐμφανισθῆναί σοι τῷ πάντων ποιητῇ εὐλόγησον καὶ εἰς πᾶν ἔργον ἀγαθὸν καὶ σοὶ εὐάρεστον αὔξησον, ἀποσοβῶν ἀπ' αὐτοῦ πᾶσαν ἐναντίαν

---

των δὲ γινομένων λέγει καθ' ἑαυτὸν ὁ ἱερεὺς τὸ Νῦν ἀπολύεις... Καὶ οὕτω τίθησι τὸ παιδίον παρὰ τὰς θύρας τῶν βημοθύρων καὶ λέγει τὴν εὐχὴν Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τεσσαράκοντα... Καὶ οὕτως σφραγίζει τὸ μέτωπον αὐτοῦ καὶ τὸ στόμα καὶ τὸ στῆθος· Δόξα καὶ νῦν. Καὶ ἡ ἀπόλυσις αὕτη: Ὁ ἐν τεσσαράκοντα ἡμερῶν ἐν τῷ νομικῷ ναῷ προσαχθεὶς ὑπὸ Μαρίας τῆς ἀειπαρθένου Θεοτόκου καὶ ἐν ταῖς ἀγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθεὶς Χριστὸς ὁ ἀληθινός... ταῖς πρεσβείας τῆς παναχράντου αὐτοῦ μητρός, τῶν ἁγίων καὶ ἐνδόξων καὶ πανευφήμων ἀποστόλων καὶ πάντων τῶν ἁγίων ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Καὶ οὕτως ἀποδίδει τὸ βρέφος τῇ μητρὶ αὐτοῦ. Καὶ ἀπέρχεται...

---

*Ὁ B μόνην τὴν εὐχὴν μετὰ τῆς ἐπιγραφῆς «Εὐχὴ ὅτε εἰσέρχεται παιδίον εἰς τὴν ἐκκλησίαν τῇ M ἡμέρᾳ τῆς γεννήσεως αὐτοῦ». Ὁ L τὴν ἐπιγραφὴν «Εὐχὴ ὅτε εἰσέρχεται παιδίον ἐν τῇ ἐκκλησίᾳ τῇ μ΄ ἡμέρᾳ». Ὁ Δ «Εὐχὴ ὅτε εἰσέρχ. τὸ παιδ. εἰς ἐκκλησίαν εἰς τὰς τεσσαράκοντα ἡμέρας τῆς γεννήσεως αὐτοῦ». Ὁ K «Εὐχὴ εἰς τὸ σαραντῆσαι παιδίον». Ὁ I «Εὐχὴ εἰσερχομένου τοῦ παιδὸς μετὰ τῆς μητρὸς αὐτοῦ εἰς τὰς μ΄ ἡμέρας ἐν τῇ ἐκκλησίᾳ». Ὁ Γ «εὐχὴ εἰσερχόμενον παιδίον εἰς τὰς μ΄ ἡμέρας».*

*1 τεσσαράκοντα ἡμέρας τοῦ νόμου Γ I K **K** Λ Ξ ὁ ἐν τεσσαρ. ἡμέρας κατὰ τὸν νόμον **Δ** B 2 τῷ νομικῷ ἱερὸν ἀνελθὼν ὑπὸ **Δ** εἰς τὸ ἱερὸν ἀνελθὼν ὑπὸ K Ξ εἰς τὸ ἱερὸν εἰσελθὼν ὑπὸ Γ **Δ** ἀνελθὼν μετὰ Μαρίας B I **K** εἰς τὸ ἱερὸν ἀνελθὼν βασταζόμενος ὑπὸ L Μαρίας τῆς ἁγίας μητρός σου Γ K **K** Μαρίας τῆς μητρός σου I **Δ** Μαρίας τῆς ἁγίας σου μητρὸς L τῆς ἀπειρογάμου μητρός σου Q τῆς ἀπειρογάμου σου μητρὸς H τῆς ἀπειρογάμου καὶ ἁγίας μητρός σου Δ Ψ τῆς ἀπειρογ. μητρὸς **O** τῆς ἀχράντου σου μητρὸς Ξ 3 ἀγκάλαις Συμεὼν τοῦ δικαίου δεχθεὶς **H** Λ **O** Q ἐν ταῖς ἀγκάλαις ὑποδεχθεὶς τοῦ δικ. Συμεὼν L Συμεὼν δεχθεὶς B Γ Ξ Ψ Συμεὼν εἰσελθὼν I K Συμεὼν εὐδοκήσας εἰσελθεῖν **K** 4—7 δεχθεὶς αὔξησον.. B **Δ** εἰσελθεῖν αὔξησον K δεχθεὶς ἀξίωσον καὶ τὸν δοῦλόν σου τόν δε τῇ δυνάμει σου τῇ ἀοράτῳ Γ L I Ξ αὔξησον καὶ τὸν δοῦλόν σου τόν δε τῇ δυνάμει σου τῇ ἀοράτῳ **K** Λ τῇ ἀοράτῳ ἀποσοβῶν **Δ** Δέσποτα Κύριε αὔξησον τὸν δοῦλόν σου τόν δε τῇ δυνάμει σου ἵνα τυχὼν τοῦ λουτροῦ τῆς ἀφθαρσίας γενήσεται τέκνον **Δ** τῇ δυνάμει σου ἵνα τυχὼν τοῦ λουτροῦ B Ξ ἀοράτῳ καὶ πνευματικῇ δεξιᾷ τυχεῖν L **K** τυχεῖν τοῦ λουτροῦ τῆς ἀφθαρσίας Γ I **K** L τοῦ λουτροῦ τῆς ἀφθαρσίας γενήσεται τέκνον B Ξ ἀφθαρσίας διὰ τοῦ ἁγίου Πνεύματος ὥστε γενέσθαι Γ ἀφθαρσίας καὶ τυχὼν τῆς μερίδος I ἀφθαρσίας. Γένοιτο τέκνον **K** αὔξησον καὶ τὸν δοῦλόν σου δεῖνα ἵνα τυχὼν*

δύναμιν διὰ τῆς σημειώσεως τοῦ τύπου τοῦ σταυροῦ σου. Σὺ γὰρ εἶ ὁ φυλάσσων τὰ νήπια, Κύριε. Ἵνα καταξιωθὲν τοῦ ἁγίου βαπτίσματος τύχῃ τῆς μερίδος τῶν ἐκλεκτῶν τῆς βασιλείας σου, φυλαττόμενον σὺν ἡμῖν τῇ χάριτι τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ἀδιαιρέτου Τριάδος. Σοὶ γὰρ πρέπει πᾶσα δόξα καὶ εὐχαριστία καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνατε.

Ὁ Θεός, ὁ Πατὴρ ὁ παντοκράτωρ, ὁ διὰ τοῦ μεγαλοφωνοτάτου

---

Ὁ ***Π*** τάξις μετὰ τὸ τεσσαρακοστῶ εἰς τὸ ἐκκλησιάσαι παῖδα. Προσφέρει αὐτὸ ὁ ἀνάδοχος ἐν τῷ ναῷ, ἑστηκὼς ἔξω τῆς πύλης. Καὶ ὁ ἱερεὺς μετὰ ἐπιτραχηλίου. Ποιεῖ Εὐλογητόν, Τρισάγιον, ἀπολυτίκιον τῆς ἡμέρας καὶ τὴν εὐχὴν ταύτην ἐκ Γ'» (τὴν ἀνωτέρω εὐχὴν μόνην). Ὡσαύτως καὶ ὁ e «εὐχὴ εἰς τὸ ἐκκλησιάσαι παιδίον. Τοῦ Κυρίου δεηθῶμεν. Καὶ λέγει τὴν εὐχὴν ἐκ Γου...». Ὡσαύτως καὶ οἱ $\Sigma_2$ $\Sigma_3$ $\Sigma_4$ μόνην εὐχὴν εἰς τὸ ἐκκλησ. παιδίον τὴν ἀνωτέρω μετά τινων διαφόρων γραφῶν. Ὁ $\Sigma_7$ «Εὐχὴ εἰς τὸ ἐκκλησ. παιδίον τῇ μ' ἡμέρα» τὴν ἀνωτέρω. Μετ' αὐτήν: «Εὐχὴ ὅταν λαμβάνῃ ἡ γυνὴ πλήρωμα τῶν μ' ἡμερῶν τῆς λοχείας αὐτῆς «Δέσποτα, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων...». Ὁ *Ξ* τὰ αὐτὰ πρὸς τὸν ***Π*** προτάσσει ὅμως τὴν εὐχὴν Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ...

---

*τοῦ κλήρου τῆς μερίδος Κ ἀφθαρσίας ἵνα τυχὼν L Κύριε ἵνα καὶ τυχὼν τοῦ λουτροῦ τῆς ἀφθαρσίας γένηται τέκνον Λ 8 καταξιωθὲν τοῦ ἁγίου Πνεύματος καὶ βαπτίσματος Ψ γενέσθαι αὐτὸν τέκνον φωτὸς καὶ ἡμέρας Γ τέκνον φωτὸς καὶ ἡμέρας Β Κ Λ Δ Ξ 9—13 ἡμέρας καὶ τυχὼν τῆς μερίδος τοῦ κλήρου τῶν ἁγίων κοινωνὸς Ξ τῆς μερίδος καὶ τοῦ κλήρου τῶν ἐκλεκτῶν σου γένηται καὶ τοῦ τιμίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ σου φυλαττόμενος τῇ χάριτι τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ἀδιαιρέτου Τριάδος, εἰς δόξαν σὴν καὶ τοῦ μονογενοῦς σου Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν... Ι τῆς μερίδος... (ὡς ἐν τῷ Ι)... γένηται τοῦ τιμίου... Ἐκφώνησις Σοὶ γὰρ πρέπει **Δ** μερίδος τῶν ἁγίων σου κοινωνὸς γένηται καὶ τοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ σου φυλαττόμενος σὺν ἡμῖν τῇ χάριτι τῆς ἁγίας... Τριάδος Ἐκφών. Ὅτι ἀγαθός Κ μερίδος... γένηται τοῦ τιμίου σώματος καὶ αἵματός σου φυλαττόμενος... (ὡς ἐν Κ) Τριάδος Ὅτι πρέπει σοι πᾶσα L. τέκνον φωτὸς καὶ ἡμέρας καὶ τυχὼν τῆς μερίδος τοῦ κλήρου τῶν ἐκλεκτῶν σου συγκοινωνὸς γένοιτο τοῦ ἁγίου σου σώματος καὶ τοῦ τιμίου αἵματος φυλαττόμενος... Τριάδος μετὰ τῶν δικαίων ἐν τῇ βασιλείᾳ σου. Ὅτι σὸν τὸ κράτος* ***Κ*** *ἡμέρας καὶ τύχῃ τῆς μερίδος καὶ τοῦ κλήρου τῶν ἐκλεκτῶν σου, κοινωνὸς γεγένηται τοῦ τιμίου σώμ. καὶ αἵμ. τοῦ Χριστοῦ σου φυλαττόμενος τῇ χάριτι σοῦ τῆς ἁγίας Τριάδος τῆς ὁμοουσίου καὶ ἀδιαιρέτου, ᾗ δόξα πρέπει, τιμὴ καὶ προσκύνησις πάντοτε νῦν...* ***Λ*** *ἡμέρας. Καὶ τυχὼν τῆς μερίδος τοῦ κλ. τῶν ἐκλεκτῶν σου κοινωνὸς γένηται καὶ τοῦ τιμ. σώματος καὶ αἵματος τοῦ Χριστοῦ σου φυλαττόμ. τῇ χάριτι τῆς ἁγίας... Τριάδος (κ.τ.λ. ὡς ἐν Ι) Β Γ γένηται τοῦ τιμίου σώματος καὶ αἵματός σου φυλαττόμενος τῇ σῇ χάριτι τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν εἰς δόξαν καὶ τοῦ ἀνάρχου σου Πατρὸς καὶ τοῦ παναγίου καὶ ἀγαθοῦ καὶ ζωοποιοῦ σου Πνεύματος Ξ Εἰς δόξαν σήν... (ὡς ἐν Ι) Β. Καὶ ὁμοουσίου καὶ ζωοποιοῦ καὶ ἀδιαιρέτου Τριάδος. Σοὶ γὰρ πρέπει πᾶσα εὐχαριστία καὶ προσκύνησις Ψ.*

*1 Ἐν τῷ* ***Λ*** *λείπει τὸ Εἰρήνη'.. κλίνατε. Ἡ εὐχὴ εἰσάγεται διὰ τοῦ Κυρίου δεηθῶμεν Ἀπαντᾷ καὶ ἐν τῷ* $\mathbf{K}_1$

τῶν προφητῶν Ἡσαΐου προκαταγγείλας ἡμῖν τὴν ἐκ Παρθένου σάρκωσιν τοῦ μονογενοῦς σου Υἱοῦ καὶ Θεοῦ ἡμῶν, ὃς ἐπ' ἐσχάτων τῶν ἡμερῶν, εὐδοκίᾳ σῇ καὶ συνεργείᾳ τοῦ ἁγίου Πνεύματος διὰ τὴν τῶν βροτῶν σωτηρίαν ἀμέτρῳ εὐσπλαγχνίᾳ ἐξ αὐτῆς νηπιάσαι καταδεξάμενος καὶ κατὰ τὸ εἰθισμένον ἐν νόμῳ ἁγίῳ σου μετὰ τὴν ἐκπλήρωσιν τῶν ἡμερῶν τοῦ καθαρισμοῦ τῷ ἱερῷ προσαχθῆναι ἠνέσχετο, ἀληθὴς νομοθέτης ὑπάρχων καὶ ἐν ἀγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθῆναι κατεδέξατο· οὗπερ μυστηρίου τὴν προτύπωσιν ἐν τῷ προλεχθέντι προφήτῃ διὰ τῆς λαβίδος τοῦ ἄνθρακος δηλωθεῖσαν ἐπέγνωμεν· οὗ καὶ ἡμεῖς οἱ πιστοὶ τὴν μίμησιν ἐν χάριτι κατέχομεν· αὐτὸς καὶ νῦν, ὁ φυλάσσων τὰ νήπια, Κύριε, εὐλόγησον τὸ παιδίον τοῦτο ἅμα τοῖς γονεῦσι καὶ ἀναδόχοις αὐτοῦ· καὶ καταξίωσον αὐτὸ ἐν καιρῷ εὐθέτῳ καὶ τῆς δι' ὕδατος καὶ Πνεύματος ἀναγεννήσεως· συγκαταρίθμησον αὐτὸ τῇ ἁγίᾳ σου ποίμνῃ τῶν λογικῶν προβάτων, τῶν ἐπικεκλημένων τῷ ὀνόματι τοῦ Χριστοῦ σου. Ὅτι σὺ εἶ, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

Κατὰ τὸν $\Pi_9$ «...εἰσέρχεται ἔξω πρὸ τῶν πυλῶν τῆς ἐκκλησίας ἡ μήτηρ μὲ τὸ παιδίον, εἰσέρχεται ὁ ἱερεὺς καὶ ποιεῖ Εὐλογητόν, τρισάγιον... Κύριε, ὁ ἐν τεσσαράκοντα ἡμέραις... Εἰρήνη πᾶσι, τὰς κεφαλὰς ἡμῶν. Διὰ τὴν ἡμετέραν σωτηρίαν ἀτρέπτως ἐνανθρωπήσας, Χριστὲ ὁ Θεὸς ἡμῶν καὶ ὡς βρέφος προσαχθεὶς ἐν τῷ ναῷ... Εἶτα εὐλογεῖ τὴν μητέρα τοῦ παιδίου καὶ λέγει τὴν εὐχήν· Κύριε, ὁ Θεὸς ἡμῶν ὁ παραγενόμενος ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων... Εἶτα λαμβάνει ὁ ἱερεὺς τὸ παιδίον ἐκ τῆς μητρὸς αὐτοῦ καὶ εἰ μὲν ἔστιν ἄρσεν...» Ὁ Β μόνην τὴν εὐχὴν ἄνευ ἄλλου τινός, μεθ' ὃ εὐχὴ εἰς τὸ ποιῆσαι κατηχ.

Ἡ ἀνωτέρω εὐχὴ παρατιθεμένη κατὰ τὸ ἔντυπον ἐν οὐδενὶ τῶν μνημονευθέντων κωδίκων ἀπαντᾷ παρὰ μόνον ἐν τῷ ***Δ*** προτασσομένη τῆς ἀνωτέρω εὐχῆς Κύριε ὁ Θεὸς ἡμῶν ὁ ἐν τεσσαράκοντα... καὶ φέρουσα τὴν ἐπιγραφὴν Εὐχὴ ἐν τῷ εἰσάγειν παιδίον εἰς μ' ἡμέραν ἐν τῇ ἐκκλησίᾳ, καθὼς καὶ ἐν τῷ ***$K_4$***.

Οὕτω ἐκ τῶν ἐν τῷ ἐντύπῳ τεσσάρων ***εὐχῶν εἰς Γυναῖκα Λεχὼ μετὰ τεσσαράκοντα ἡμέρας*** μόνον ὁ ***Δ*** ἔχει καὶ τὰς τέσσαρας. Οἱ Γ ***Η Ω Ψ*** τὰς τρεῖς. Ὁ Κ μόνον τὴν πρώτην καὶ τρίτην. Ὁ ***Κ*** μόνον τὴν δευτέραν καὶ τρίτην. Οἱ Β ***Δ*** L μόνον τὴν τρίτην.

---

*3 παρθένου γέννησιν* ***Δ***. *5 - 6 διὰ τὴν ἡμῶν τῶν βροτῶν σωτηρίαν ἐξ αὐτῆς νηπιάσας καὶ καταδεξάμενος κατὰ τὸ* ***Δ*** *8 προσαχθῆναι φύσει νομοθέτης ὑπάρ., ἐν ἀγκάλαις τε βασταχθῆναι οὗπερ* ***Δ*** *11 λαβίδος καὶ τοῦ ἄνθρακος νοητῶς δηλωθεῖσαν* ***Δ*** *12 ὧν καὶ ἡμεῖς πιστοὶ* ***Δ*** *ἐν τῇ χάριτι* ***Δ*** *13 αὐτὸς ὁ φυλάσσων τὰ νήπια* ***$K_1$*** *εὐλόγησον καὶ τὸ παιδίον* ***$K^1$*** *14 τὸ παιδίον τοῦτο καὶ καταξίωσον αὐτὸ δι' ὕδατος καὶ Πνεύματος τῆς τοῦ ἁγίου βαπτίσματος ἀναγεννήσεως* ***$K_1$*** *16 συγκαταριθμῶν αὐτὸ τῇ ἁγίᾳ ποίμνῃ* ***Δ*** *τῇ ἁγίᾳ ποίμνῃ τῶν λογικῶν τῶν ἐπικεκλημένων τὸ ὄνομα τοῦ* ***$K_1$*** *προβάτων, ἐπικεκλημένων τὸ ὄνομα τοῦ Χριστοῦ σου. Εἰς δόξαν σὴν καὶ τοῦ μονογενοῦς σου Υἱοῦ καὶ τοῦ παναγίου καὶ ἀγαθοῦ καὶ ζωοποιοῦ σου Πνεύματος νῦν...* ***Δ***

*Η Ψ ᾶ Δ Ο* Καὶ μετὰ τὸ Ἀμὴν σφραγίζει τὸ μέτωπον αὐτοῦ καὶ τὸ στόμα καὶ τὸ στῆθος, *Δ* ἐπιλέγων καὶ τὸ τῆς ἁγίας Τριάδος ὄνομα καὶ οὕτως ἀπολύει. *Κ* Εἶτα τίθησιν ὁ ἱερεὺς τὸ παιδίον ἔμπροσθεν τῶν ἁγίων θυρῶν, *Κ Ψ* ᾶ λέγων· Τὸ δὲ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο *Ψ* πάντοτε νῦν καὶ ἀεὶ...Ἀμήν. *Η Ω Δ Ο* ᾶ Καὶ οὕτως ὁ ἀνάδοχος λαμβάνει αὐτὸ καὶ ἐξέρχεται.

*Ψ* Εὐχὴ ἑτέρα λεγομένη εἰς λεχούσας, εἰς τὰς ἀποβαλούσας τὸ βρέφος καὶ ὁπόταν γεννηθῇ τὸ παιδίον παρακαιρὸν καὶ ἀτέλεστον, ἢ καὶ ἐξ ἀνάγκης τινός.

*ᾶ* Ποιεῖ ὁ ἱερεὺς Εὐλογητόν. Τρισάγιον... Ὅτι σοῦ ἐστιν. Ἀπολυτίκιον καὶ κοντάκιον τῆς ἡμέρας. Καὶ λέγει τὴν εὐχὴν ταύτην.

*Ψ ᾶ* Τοῦ Κυρίου δεηθῶμεν.

*Ψ* Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τεχθεὶς ἐκ τῆς Παρθένου Μαρίας καὶ ἐν φάτνῃ ὡς βρέφος κείμενος, αὐτὸς καὶ τὴν παροῦσαν δούλην σου (τήν δε) σήμερον τὴν ἐν ἁμαρτίαις φόνου περιπεσοῦσαν, ἑκουσίως ἢ ἀκουσίως, καὶ τὸ ἐν αὐτῇ συλληφθὲν ἀποβαλλομένην ἐλέησον αὐτὴν κατὰ τὸ μέγα σου ἔλεος. Καὶ συγχώρησον αὐτῆς τὰ ἑκούσια καὶ ἀκούσια πταίσματα καὶ διαφύλαξον αὐτὴν ἀπὸ πάσης τοῦ διαβόλου μηχανῆς. Τὸν ρύπον κάθαρον, τούς πόνους θεράπευσον καὶ ρῶσιν καὶ εὐρωστίαν τῷ σώματι σὺν τῇ ψυχῇ αὐτῆς, φιλάνθρωπε, δώρησαι καὶ δι' ἀγγέλου φωτεινοῦ ταύτην περιφρούρησον ἀπὸ πάσης ἐπελεύσεως τῶν ἀοράτων δυνάμεων. Ναί, κύριε, ἀπὸ νόσου καὶ μαλακίας, ἀπὸ ζάλης καὶ ὀφθαλμῶν βασκανίας. Ἐλέησον αὐτὴν ἀπὸ τοῦ σωματικοῦ ρύπου καὶ ποικίλων αὐτῇ ἐπερχομένων

---

Κατὰ τὸν *Κ* «Λαβοῦσα οὖν ἡ γυνὴ τὸ παιδίον μετὰ τὸ ποιῆσαι μετανοίας τρεῖς ἀπέρχεται». Κατὰ τὸν *Ψ* «Καὶ οὕτω λαμβάνει αὐτὸ ἡ μήτηρ αὐτοῦ ἢ ὁ ἀνάδοχος. Ἀπέρχονται. Δεῖ γινώσκειν, ὅτι τὸ γεννηθὲν βρέφος, ἐὰν ἄρα καὶ ἀσθενεῖ μὴ θηλάζον ἀλλὰ πρὸς θάνατον ἀφορᾷ, οὐ χρὴ παραμένειν πολὺν καιρόν, ἀλλ' αὐτῇ τῇ ὥρᾳ βαπτίσει αὐτό».

Οἱ *Ξ Π* ε μετὰ τὴν εὐχὴν Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τεσσαράκοντα «Καὶ λαμβάνει ὁ ἱερεὺς τὸ παιδίον καὶ εἰσφέρει ἔσω ἐν τῷ ναῷ λέγων «Χαῖρε κεχαριτωμένη Θεοτόκε Παρθένε ἐκ σοῦ γὰρ ἀνέτειλε... ἡμῖν καὶ τὴν ἀνάστασιν. Καὶ τὸ κοντάκιον Ὁ μήτραν Παρθενικὴν ἁγιάσας». Οἱ *Π* ε «Καὶ ποιεῖ ἀπόλυσιν». Οὐδὲν ἕτερον, ἀλλ' εὐθὺς Τάξις εἰς τὸ ποιῆσαι κατηχούμενον.

---

*ᾶ Ἀκολουθία εἰς γυναῖκα ὅταν ἀποβληθῇ (Αἱ κατωτέρω διάφοροι γραφαὶ κατὰ τὸν ᾶ)*
*1 ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρ.* *2 βρέφος ἀνακλιθεὶς αὐτὸς τὴν παρ.* *3 εἰς φόνον περιπεσοῦσαν.5, ἀποβαλομένην ἐλέησον κατὰ τὸ... αὐτῇ τὰ ἑκούσια καὶ τὰ ἀκούσια* *6 — 7 διαφύλαξον ἀπὸ πάσης,.. μηχανουργίας Καὶ τὸν ρύπον* *8 τὴν ρῶσιν καὶ* *10 ἀοράτων δαιμόνων* *11 μαλακίας καὶ καθάρισον αὐτὴν ἀπὸ τοῦ σωματικοῦ ρύπου καὶ τῶν ποικίλων.*

ἐνοχλήσεων σπλαγχνικῶν, καὶ ἐξάγαγε αὐτὴν διὰ τῆς ταχεινῆς σου εὐσπλαγχνίας ἐν τῷ ταπεινῷ αὐτῆς σώματι εἰς ἐπανόρθωσιν καὶ ἀνάστησον αὐτὴν ἀπὸ τῆς κλίνης, ἧς περίκειται. Ὅτι ἐν ἁμαρτίαις ἐκυήθημεν καὶ ἐν ἀνομίαις συνελήφθημεν καὶ πάντες διὰ ρύπου ἐσμὲν ἐνώπιόν σου, Κύριε, καὶ μετὰ φόβου βοῶμεν καὶ λέγομεν· Ἐπίβλεψον ἐξ οὐρανοῦ καὶ ἴδε τὴν ἀσθένειαν τῶν καταδίκων καὶ συγχώρησον τὴν ἐν ἁμαρτίαις φόνου περιπεσοῦσαν ἑκουσίως ἢ ἀκουσίως καὶ τὸ ἐν αὐτῇ συλληφθὲν ἀποβαλλομένη. Καὶ πάντας τοὺς εὑρισκομένους καὶ ἀψαμένους αὐτῆς ἐν τῷ οἴκῳ τούτῳ συγχώρησον αὐτοὺς κατὰ τὸ μέγα σου ἔλεος, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

---

*13 ἐνοχλήσεων... ἔξαξον αὐτὴν 14 ταχ. σου ἐλεημοσύνης σώματι καὶ ἀνάστησον 16 17 ἀνομίαις καὶ διὰ ῥύπου πάντες 18 ἡμῶν τῶν καταδίκων 19 συγχώρησον τῇ δούλῃ σου (δεῖνα) τήν... πεσούσῃ 21 ἁψαμ. αὐτῆς κατὰ τὸ μέγα σου ἔλεος 22 φιλαθ. Θεὸς συγχώρησον· ὅτι σὺ μόνος ἔχεις ἐξουσίαν ἀφιέναι ἁμαρτίας καὶ ἀνομίας πρεσβείαις τῆς παναχράντου σου μητρὸς καὶ πάντων τῶν ἁγίων σου Ὅτι πρέπει σοι... Μετὰ τὴν ἐκφώνησιν ὁ ᾱ Δόξα καὶ νῦν Καὶ ἀπόλυσις.*

**Σ₂ Η L Q Δ Γ Κ Ι Ξ** ΕΥΧΗ ΕΙΣ ΤΟ ΠΟΙΗΣΑΙ ΚΑΤΗΧΟΥΜΕΝΟΝ

Β **Η** L Q **Δ** Κ Ἀποδύει αὐτὸν καὶ ὑπολύει καὶ ἵστησι κατὰ ἀνατολὰς καὶ ἐμφυσῶν αὐτῷ τρὶς σφραγίζει τὸ μέτωπον αὐτοῦ καὶ τὸ στόμα καὶ τὸ στῆθος καὶ λέγει·

**Κ Ψ Μ Ο Π** ᾱ Τοῦ Κυρίου δεηθῶμεν

1 Ἐπὶ τῷ ὀνόματί σου, Κύριε, ὁ Θεὸς τῆς ἀληθείας, καὶ *Δευτερ. ιη 6, κα 5 Ψαλμ. λ 5*

σ₈ «Καὶ σφραγίζει αὐτοῦ τὸ μέτωπον ἕως τοῦ στήθους ἐκ τρίτου, οἷον ἐμφυσᾷ ἀπὸ τὸ μέτωπον ἕως τοῦ στήθους γ' ποιῶν καὶ σταυροὺς γ' μετὰ τῆς χειρός...».

Ὁ Γ «ἀποδύει αὐτὸν καὶ ἀπολύει». Ὁ Β ἀποδύει αὐτὸν καὶ ὑπολύει...».

Ὁ ε «... καὶ ἀπολύει καὶ κατεχόμενον ὑπὸ τῆς μαίας ἵστησιν αὐτὸν κατὰ ἀνατολάς».

Ὁ **Ψ** «Ἀκολουθία εἰς τὸ ποιῆσαι κατηχούμενον ἤγουν βαπτίσαι. Ἀποδύει αὐτὸν ὁ ἱερεὺς καὶ ἀπολύει τὸν μέλλοντα βαπτισθῆναι καὶ ἱστᾷ αὐτὸν κατὰ ἀνατολὰς μονοχίτωνα καὶ ἐμφυσᾷ εἰς τὸ πρόσωπον αὐτοῦ τρίτον...».

Οἱ **Ξ Π**ε «εἰσέρχεται ἐν τῷ ναῷ καὶ ἐπιτίθησι τὴν χεῖρα ὁ ἱερεὺς ἐπὶ τὴν κεφαλὴν αὐτοῦ λέγων τὴν εὐχὴν ταύτην Ἐπὶ τῷ ὀνόματί σου...».

Οἱ **Κ** ᾱ Ἀκολ. εἰς τὸ ποιῆσαι κατηχ. Λύει ὁ ἱερεὺς τὴν ζώνην αὐτοῦ καὶ ἀποδύει καὶ ἀπολύει καὶ ἱστᾷ κατὰ ἀνατολὰς μονοχίτωνα, ἀσκέπαστον καὶ ἀνυπόδητον ἔχοντα τὰς χεῖρας κάτω. Καὶ ἐμφυσᾷ εἰς τὸ πρόσ. αὐτοῦ τρίτον καὶ σφραγίζει αὐτοῦ τὸ μέτωπον ἕως τοῦ στήθους τρίτον καὶ λέγει ὁ διάκονος τοῦ Κυρίου δεηθῶμεν.

Ὁ **Δ** «Ἀκολ. τοῦ ἁγίου βαπτίσμ. Ἤγουν εἰς τὸ ποιῆσαι κατηχ. Προσφέρεται ὁ κατηχ. μέχρι καὶ τῶν πυλῶν τοῦ ναοῦ καὶ λαμβάνων αὐτὸν ὁ ἱερεὺς ἀποδύει καὶ ἀπολύει κακεῖσε ἵστησιν αὐτὸν ἔξωθεν βλέποντα κατὰ ἀνατολάς. Καὶ ἐμφυσᾷ αὐτὸν εἰς τὸ πρόσωπον τρίς. Καὶ σφραγίζων αὐτὸν ἐν τῷ μετώπῳ καὶ τῷ στόματι καὶ τῷ στήθει λέγων Εἰς τὸ ὄνομα τοῦ Πατρὸς—Πνεύματος νῦν καὶ ἀεί,.. αἰώνων Ἀμήν. Εἶτα ἐπιτίθησι τὴν χεῖρα ἐπὶ τὴν κεφαλὴν αὐτοῦ τοῦ κατηχουμένου λέγων». Ὁ **Μ** τὴν αὐτήν που ἐπιγραφὴν «Φερομένου τοῦ μέλλοντος βαπτισθ. ἔμπρ. τῶν πυλ. τῆς ἁγίας ἐκκλησίας ἀποδύει αὐτὸν καὶ ἀπολύει καὶ ἵστησιν αὐτὸν κατὰ ἀνατολάς. Καὶ ποιήσας εὐλογητόν, τὸ Τρισάγιον Δόξα καὶ νῦν. Παναγία Τριάς Τὸ Κύριε ἐλέησον Γον Δόξα καὶ νῦν Πάτερ ἡμῶν. Καὶ ἐμφυσᾷ...» Ἐντεῦθεν ἐμφαίνεται ὅτι τὸ τριπλοῦν Κύριε ἐλέησον ἐν τῷ Παναγία Τριὰς δὲν ἀποτελεῖ τμῆμά τι ἀναπόσπαστον τούτου.

Ὡσαύτως ὁ ᾱ «Ἀκολουθία τῆς ἁγίας βαπτίσεως· εἰς τὸ ποιῆσαι κατηχούμενον. Ὁ ἱερεὺς ποιεῖ εὐλογητόν... Ἀπολυτίκιον καὶ κοντάκιον Ἐν Ἰορδάνη... Ἐπεφάνης... Καὶ ἵστησι τὸν βαπτιζόμενον». Καὶ Ὁ **Ο** «Λέγει ὁ ἱερεὺς Εὐλογητόν... Ἀπολυτίκιον τοῦ Προδρόμου Μνήμη δικαίου. Δόξα Βαπτιστὰ τοῦ Χριστοῦ. Καὶ νῦν Τῇ πρεσβείᾳ, Κύριε. Εἶτα εἰ μὲν ἡλικίας τελείας ἐστὶν ὁ μέλλων τελειωθῆναι τῷ θείῳ βαπτίσματι ἀποδύει αὐτόν... στῆθος. Εἰ δὲ βρέφος ἐστὶ κρατεῖ τοῦτο ἡ μαῖα ἐν ταῖς ἀγκάλαις αὐτῆς ἱσταμένη κατὰ ἀνατολὰς ἔξωθεν τῆς ἐκκλησίας. Τοῦ Κυρίου δεηθῶμεν...» Κατὰ τὸν ᾱ Εὐλογητόν... Ἀπολυτίκιον τῆς ἡμέρας. Τὸν ν'. καὶ σταθεὶς κατὰ ἀνατολὰς ὁ ἱερεὺς καὶ σφραγίζει τὸν παῖδα καὶ κρατῶν τὴν χεῖρα ἐπάνω τοῦπαιδίου λέγει τὴν εὐχήν..»

---

*1 Κύριος ὁ Θεὸς Β Κύριε ὁ Θεὸς τῶν δυνάμεων καὶ τοῦ Ξ*

τοῦ μονογενοῦς σου Υἱοῦ καὶ τοῦ ἁγίου σου Πνεύματος, ἐπιτίθημι τὴν χεῖρά μου ἐπὶ τὸν δοῦλόν σου τόνδε, τὸν καταξιωθέντα καταφυγεῖν ἐπὶ τὸ ἅγιον ὄνομά σου καὶ ὑπὸ τὴν σκέπην τῶν πτερύγων σου διαφυλαχθῆναι. Ἀπόστησον ἀπ' αὐτοῦ τὴν παλαιὰν ἐκείνην πλάνην καὶ ἔμπλησον αὐτὸν τῆς εἰς σὲ πίστεως καὶ ἐλπίδος καὶ ἀγάπης, ἵνα γνῷ, ὅτι σὺ εἶ Θεὸς μόνος, Θεὸς ἀληθινός, καὶ ὁ μονογενής σου Υἱός, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, καὶ τὸ ἅγιόν σου Πνεῦμα. Δὸς αὐτῷ ἐν πάσαις ταῖς ἐντολαῖς σου πορευθῆναι καὶ τὰ ἀρεστά σοι φυλάξαι· ὅτι ἐὰν ποιήσῃ αὐτὰ ἄνθρωπος, ζήσεται ἐν αὐτοῖς. Γράψον αὐτὸν ἐν βίβλῳ ζωῆς σου καὶ ἕνωσον αὐτὸν τῇ ποίμνῃ τῆς κληρονομίας σου· δοξασθήτω τὸ ὄνομά σου τὸ ἅγιον ἐπ' αὐτῷ καὶ τοῦ ἀγαπητοῦ σου Υἱοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τοῦ ζωοποιοῦ σου Πνεύματος. Ἔστωσαν οἱ ὀφθαλμοί σου ἀτενίζοντες εἰς αὐτὸν ἐν ἐλέει διαπαντός, καὶ τὰ ὦτά σου τοῦ ἀκούειν τῆς φωνῆς τῆς δεήσεως αὐτοῦ. Εὔφρανον αὐτὸν ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ καὶ ἐν παντὶ τῷ γένει αὐτοῦ· ἵνα ἐξομολογήσηταί σοι προσκυνῶν καὶ δοξάζων τὸ ὄνομά σου τὸ μέγα καὶ ὕψιστον καὶ αἰνέσῃ σε διαπαντὸς πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ. Σὲ γὰρ ὑμνεῖ πᾶσα ἡ δύναμις τῶν οὐρανῶν καὶ σοῦ ἐστιν ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Ψαλμ. ξ 4 — Ψαλμ. π… Γ' Μακκ. — Ἰωάν. … Ρωμ. … ιε 6 καὶ ἀ… — Β' Παραλ… — Λευϊτ. ις… Ρωμ. … — Φιλιπ. … — Ἀποκ. … — Ψαλμ. πε… — Ματθ. γ… — Μαρκ. α… Λκ γ 22, … — Ρωμ. … ιε 6 κ. … — Ψαλμ. κ… ριδ 1, ρλ… — Ψαλμ. πε… — Ψαλμ. ϑ… — Ψαλμ. ς… κϑ 10… — Ψαλμ. λ… κβ 5, κ… — Δαν. η 1…*

---

*2 καὶ τοῦ ἁγίου Πνεύματος **Ψ Γ** 3 χεῖρά μου ἐπὶ τόνδε τὸν καταξιώσαντα καταφυγεῖν **Δ Η Λ** τὸν καὶ καταξιωθέντα L φυγεῖν **O** 4 ἐπὶ τὸ ἅγιόν σου ὄνομα **ΚΨ** 6 τὴν παλαιὰν πλάνην ἐκείνην L πίστεως, ἐλπίδος **M** 7 Ὅτι σὺ μόνος **Β Δ Η Λ** L Q **O** σὺ εἶ μόνος **ΓΞ Ψ** ὅτι σὺ Θεὸς μόνος ἀληθινὸς **I** ἀληθινὸς Θεὸς L 8 Θεὸς ἀληθινὸς καὶ ἀθάνατος καὶ ὁ μονογενής σου **Ψ Κ** 9 καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον **M** Καὶ δὸς αὐτῷ **Β Γ Δ Ι Κ** L **Μ Ψ**. Καὶ δὸς αὐτὸς **Ξ** 10 πορεύεσθαι **Β Μ** L ἀρεστά σου **ΓΚ Ξ** 11 φυλάσσειν **H** ὅτι ἐὰν ποιῇ **Γ Δ Κ Κ Μ** L **Ξ**. 12 Καὶ ἔγγραψον **Β Γ Δ Ι Κ Κ** L **Μ Ξ Ψ**. Καὶ γράψον **Α** ἕνωσον τῇ ποίμνῃ **Κ** ἐν τῇ ποίμνῃ **M** ἐν τῇ ποίμνῃ σου **Κ Ψ** 13 καὶ δοξασθήτω **Δ Ι Κ Λ Ξ Ψ Κ** δοξασθ. ὄνομα τὸ ἅγιόν σου ἐν αὐτῷ **B** 14 τὸ ἅγιον ἐν αὐτῷ **Γ Ι** τὸ ὄνομά σου ἐν αὐτῷ **Ξ** καὶ δοξασθείη τὸ πανάγ. ὄνομά σου ἐν αὐτῷ καὶ τοῦ **M** ἐπ' αὐτὸν **Κ Λ Ψ** καὶ τοῦ ἀγαπητοῦ Υἱοῦ σου **Δ Κ** Υἱοῦ καὶ κυρίου ἡμῶν **Δ Ψ** ἐν αὐτῷ καὶ τοῦ ζωοποιοῦ **Ξ** 15 Καὶ ἔστωσαν **Β Γ Ι Κ Κ Λ** L **Μ Ξ Ψ** 16 ἀτενίζοντες ἐν ἐλέει **Ξ** 17 τὰ ὦτά σου ἀκούειν τῆς φωνῆς L τοῦ ἀκοῦσαι **Γ** τοῦ ἀκούειν διαπαντὸς **M** τοῦ ἀκούειν τῆς δεήσεως **Β Ι Κ Ψ** Καὶ εὔφρανον **Β Δ Ι Κ Κ** L **Λ Μ Ψ***

*18 ἐν τοῖς ἔργοις σου καὶ ἐν παντὶ **Κ Ψ** χειρῶν αὐτοῦ ἵνα ἐξομολ. **K** τῷ πιστῷ γένει αὐτοῦ **Λ** 19 ἐξομολόγηταί σοι **B** τὸ μέγα καὶ ἅγιον καὶ ὕψιστον **Δ** δοξάζων τὸ ὄνομά σου τὸ ἅγιον καὶ αἰνῶν σε διὰ παντὸς **M** 21 τὰς ἡμέρας αὐτοῦ **Γ** διαπαντὸς ἐν ταῖς ἡμέραις τῆς ζωῆς αὐτοῦ **Ψ** Ὅτι σὲ ὑμνεῖ **M** ἐκφών. Σὲ γάρ. **Δ Η Λ Ξ** 22 πᾶσαι αἱ δυνάμεις **Ξ** τῶν οὐρανῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπουσι τῷ Πατρὶ **Δ Μ** καὶ σοῦ ἐστιν ἡ βασιλεία **Ψ** ἡ δόξα εἰς τοὺς αἰῶνας **Ξ** 23 Ἰησοῦ Χριστοῦ καὶ τοῦ ἁγίου σου Πνεύματος **Ψ**.*

## Β. 'Αφορκισμὸς Α'

Τοῦ Κυρίου δεηθῶμεν ***Ψ Ο Π ε***

'Επιτιμᾷ σοι Κύριος, διάβολε, ὁ παραγενόμενος εἰς τὸν κόσμον καὶ κατασκηνώσας ἐν ἀνθρώποις, ἵνα τὴν σὴν καθέλῃ τυραννίδα καὶ τοὺς ἀνθρώπους ἐξέληται· ὅς ἐπὶ ξύλου τὰς ἀντικειμένας δυνάμεις ἐθριάμβευσεν, ἡλίου σκοτισθέντος καὶ γῆς σα- [*Κολοσ. β 15*; *Λουκ. κγ 45*] λευομένης καὶ μνημάτων ἀνοιγομένων καὶ σωμά- [*Ματθ. κζ 51,52*] των ἁγίων ἀνισταμένων· ὅς ἔλυσε θανάτῳ τὸν θάνατον καὶ κατήργησε τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, του- [*'Εβρ. β 14*] τέστι σὲ τὸν διάβολον. 'Ορκίζω σε κατὰ τοῦ Θεοῦ τοῦ δείξαντος τὸ ξύλον τῆς ζωῆς καὶ τάξαντος τὰ Χερου- [*'Εξοδ. ιε 25,*] βὶμ καὶ τὴν φλογίνην ρομφαίαν τὴν στρεφομένην [*Γενεσ. β 9*] φρουρεῖν αὐτό. 'Επιτιμήθητι καὶ ἀναχώρησον· κατ' ἐκείνου γάρ σε ὁρκίζω τοῦ περιπατήσαντος ὡς ἐπὶ ξηρᾶς ἐπὶ νῶτα θαλάσ- [*Γεν. γ 24*; *Ματθ. ιδ 25*] σης καὶ ἐπιτιμήσαντος τῇ λαίλαπι τῶν ἀνέμων· οὗ τὸ [*καὶ ἀλ.*] βλέμμα ξηραίνει ἀβύσσους καὶ ἡ ἀπειλὴ τήκει ὄρη, Αὐτὸς γὰρ καὶ [*Ματθ. η 26*; *Ψαλμ. ηϛ 5*] νῦν ἐπιτάσσει σοι δι' ἡμῶν· φοβήθητι, ἔξελθε καὶ ὑπαναχώρησον ἀπὸ τοῦ πλάσματος τούτου καὶ μὴ ὑποστρέψῃς μηδὲ ὑποκρυβῇς ἐν αὐτῷ, μηδὲ συναντήσῃς αὐτῷ ἢ ἐνεργήσῃς, μὴ ἐν νυκτί, μὴ ἐν ἡμέρᾳ ἢ ὥρᾳ ἢ ἐν μεσημβρίᾳ· ἀλλ' ἄπελθε εἰς τὸν ἴδιον τάρταρον ἕως τῆς ἡτοιμασμένης μεγάλης ἡμέρας τῆς κρίσεως. Φοβήθητι τὸν Θεὸν τὸν [*3 Παίδων 31*] καθήμενον ἐπὶ τῶν Χερουβὶμ καὶ ἐπιβλέποντα

---

*'Ο Γ ἐν συνεχείᾳ καὶ ἄνευ τῆς ἐπιγραφῆς 'Αφορκ. Α'. 'Ο **Μ** εἶτα στρέφεται πρὸς δυσμὰς λέγων 'Επιτιμᾷ σοι   2 καθελῇ I   3 ἐξελεῖται I L **Μ** ἐξελῆται K τὰς ἀντικειμένας ἐθριαμβ. δυνάμεις **Μ**   4 καὶ τῆς γῆς σαλευομένης B **Η** Q **Ο**   5 μνημάτων ἁγίων ἀνοιγ. **Μ** σωμάτων ἀνισταμ. ἁγίων **Κ Ψ**   6 σωμ. ἀνιστάμ. ὅς **Ο** ἀνοιγομένων ὅς ἔλυσε K **Μ** ἔλυσε θάνατον καὶ **Ο** ἔλυσε τῷ θανάτῳ I   8, 9 ὁρκίζω σε κατὰ τοῦ Θεοῦ τοῦ ζῶντος τοῦ δείξαντος τὰ χερουβὶμ Γ **Ψ Ο** 'Ορκίζω σε κατὰ τοῦ σωτηρίου πάθους Χριστοῦ τοῦ Θεοῦ καὶ κατὰ τοῦ δείξαντος **Δ** τοῦ Θεοῦ τοῦ τάξαντος **Μ**   11 φρουρεῖν αὐτὸν B φρουρεῖν αὐτῷ I K   καὶ ἀναχώρησον πνεῦμα ἀκάθαρτον B   12 περιπατοῦντος ἐπὶ τὰ νῶτα **Ψ** περιπατήσαντος ἐπὶ ξηρᾶς I   περιπατ. ἐπὶ τὰ νῶτα τῆς θαλ. ὡς ἐπὶ ξηρᾶς **Κ Ψ**   13 ὃς τῷ βλέμματι ξηραίνει **Κ Μ Ψ**   14 οὗ τὸ βλέμματι ξηραίνει Γ καὶ τῇ ἀπειλῇ **Κ Ψ** ἡ ἀπειλὴ αὐτοῦ **Δ**   15 ἐπιτάσσει σοι, διάβολε δι' ἡμῶν K δι' ἡμῶν τῶν ἀχρείων αὐτοῦ δούλων Γ ἔξελθε καὶ ἀναχώρησον **Μ** φοβήθ. καὶ ἔξελθε καὶ ἀναχ. **Δ** ἔξελθε, ἀναχώρησον ἀπὸ τό πλάσμα τούτω I   16 ἀπὸ τὸ πλάσμα τοῦτο K ἀπὸ τῶν πλασμάτων τούτων B Γ **Δ Η** ὑποκρυβῇς εἰς αὐτω I K εἰς αὐτὸν **Μ** εἰς αὐτὸ Q **Ο Δ Ψ** εἰς αὐτοὺς B Γ **Δ Η** L   17 συναντήσῃς τούτου **Ο** συναντήσῃς τινὶ αὐτῶν B Γ **Δ Η** I K **Κ** L **Μ Ψ** ἢ ἐνεργήσας ἢ ἐρραγῇς **Δ** ἢ ἐρραγῇς μὴ ἐν νυκτὶ B Γ **Δ Η** I K **Κ Δ** L Q **Ψ Ο** μηδὲ ἐν νυκτὶ L μὴ ἐν νυκτὶ ἢ ἐν ἡμέρᾳ ἢ ὥρᾳ B Γ **Ψ** μὴ ἐν ἡμέρᾳ ἀλλὰ ἄπελθε L   18 ὥρᾳ ἐν μεσημβρίᾳ B ἢ μεσημβρίᾳ Γ **Δ Μ Ψ**   19 ἡτοιμασμ. ἡμέρας τῆς κρίσεως **Μ**   20 καθήμενον ἐπὶ θρόνου Χερουβὶμ B Γ **Δ Κ** L **Ψ** ἐπὶ θρόνου χερουβικοῦ I **Μ** ἐπὶ θρόνου δόξης καὶ ἐπιβλέποντα K   21 ἀβύσσους, ὃν τρέμει ὁ οὐρανὸς καὶ ἡ γῆ,*

ἀ β ύ σ σ ο υ ς· ὃν τρέμουσιν ἄγγελοι, ἀρχάγγελοι, θ ρ ό ν ο ι, κ υ ρ ι ό τ η τ ε ς, ἀ ρ χ α ί, ἐ ξ ο υ σ ί α ι, δ υ ν ά μ ε ι ς, τὰ πολυόμματα Χερουβὶμ καὶ τὰ ἑξαπτέρυγα Σεραφίμ· ὃν τρέμει ὁ ο ὐ ρ α ν ὸ ς κ α ὶ ἡ γ ῆ, ἡ θ ά λ α σ σ α κ α ὶ π ά ν τ α τ ὰ ἐ ν α ὐ τ ο ῖ ς. Ἔξελθε καὶ ἀναχώρησον ἀπὸ τοῦ σφραγισθέντος νεολέκτου στρατιώτου Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· κατ' ἐκείνου γάρ σε ὁρκίζω, τ ο ῦ π ε ρ ι π α τ ο ῦ ν τ ο ς ἐ π ὶ π τ ε ρ ύ γ ω ν ἀ ν έ μ ω ν, τ ο ῦ π ο ι ο ῦ ν τ ο ς τ ο ὺ ς ἀ γ γ έ λ ο υ ς α ὐ τ ο ῦ π ν ε ύ μ α τ α κ α ὶ τ ο ὺ ς λ ε ι τ ο υ ρ γ ο ὺ ς α ὐ τ ο ῦ π ῦ ρ φ λ έ γ ο ν. Ἔξελθε καὶ ἀναχώρησον ἀπὸ τοῦ πλάσματος τούτου σὺν πάσῃ τῇ δυνάμει καὶ τοῖς ἀγγέλοις σου. Ὅτι δεδόξασται τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Α' Πετ. / Κολοσ. α / Ψαλμ ρμ / Ψαλμ. ργ

## Β Ἀφορκισμὸς Β'

Τοῦ Κυρίου δεηθῶμεν **Μ Ο Π ε**

Ὁ Θ ε ὸ ς ὁ ἅ γ ι ο ς, ὁ φ ο β ε ρ ὸ ς κ α ὶ ἔ ν δ ο ξ ο ς, ὁ ἐπὶ πᾶσι τοῖς ἔργοις καὶ τῇ ἰσχύϊ αὐτοῦ ἀκατάληπτος καὶ ἀνεξιχνίαστος ὑπάρχων· αὐτὸς ὁ προορίσας σοι, διάβολε, τῆς αἰωνίου κολάσεως τὴν τιμωρίαν, δι' ἡμῶν τῶν ἀχρείων αὐτοῦ δούλων κελεύει σοι καὶ πάσῃ τῇ συνεργῷ σου δυνάμει ἀποστῆναι ἀπὸ τοῦ νεωστὶ σφραγισθέντος ἐπ' ὀνόματι τ ο ῦ Κ υ ρ ί ο υ ἡ μ ῶ ν Ἰ η σ ο ῦ Χ ρ ι σ τ ο ῦ, τοῦ ἀ λ η θ ι ν ο ῦ Θ ε ο ῦ ἡμῶν. Ὁρκίζω σε οὖν παμπόνηρον καὶ ἀκάθαρτον καὶ μιαρὸν καὶ ἐβδελυγμένον καὶ ἀλλότριον πνεῦμα, κατὰ τῆς δυνάμεως Ἰησοῦ Χριστοῦ, τοῦ π ᾶ σ α ν ἐ ξ ο υ σ ί α ν ἔχοντος ἐ ν ο ὐ ρ α ν ῷ κ α ὶ ἐ π ὶ γ ῆ ς, τοῦ εἰπόντος τ ῷ κ ω φ ῷ κ α ὶ ἀ λ ά λ ῳ δαίμονι, Ἔ ξ ε λ θ ε ἀ π ὸ τ ο ῦ ἀ ν θ ρ ώ π ο υ κ α ὶ μ η κ έ τ ι ε ἰ σ έ λ θ ῃ ς ε ἰ ς α ὐ τ ό ν. Ἀναχώρησον, γνώρισον τὴν σὴν ματαίαν δύ-

Ἡσ ε / Δευτερ. / Ψαλμ. / Ἰουδὶθ / Ρωμ. ε / κ.δ. Ψαλ / 15, Γ' / καβ. ς / Ματθ. κ / Μαρκ. / Μρκ. ε 8

*ἡ θάλασσα καὶ πάντα τὰ ἐν αὐτῇ· ὃν τρέμουσι ἄγγελοι* ***Κ Ψ*** *1 ἄγγελοι, θρόνοι* ***Η*** *ἄγγελοι καὶ ἀρχάγγελοι* ***Ψ*** *2 ἀρχαὶ καὶ ἐξουσίαι* ***Ψ*** *δυνάμεις καὶ τὰ πολυόμ. Β Γ* ***Δ*** *Κ* ***Κ*** L ***Λ*** *3 Χερουβίμ, ὃν τρέμει Γ* ***Δ*** *Ι Κ* L, *Σεραφείμ· ἔξελθε* ***Κ Ψ*** *τρέμουσιν οἱ οὐρανοὶ* ***Λ*** *4 γῆ, θάλασσα* ***Η Ο*** *καὶ ἡ θάλασσα Β* ***Δ*** *Κ* L ***Μ*** *5 σφραγισθέντων νεολέκτων στρατιωτῶν Β Γ* ***Δ Η*** *Ι* L, *σφραγισθέντων στρατ. Κ 7 τοῦ περιπατήσαντος ἐπὶ πτερύγων Ι* ***Μ Ψ*** *ἀνέμων καὶ ποιοῦντος* ***Κ*** *9 πυρὸς φλόγα* ***Κ Δ*** *ἀναχώρησον ἀπὸ τὸ πλάσμα τοῦτο Ι Κ ἀπὸ τῶν πλασμάτων τούτων Β Γ* ***Δ Η*** L, *11 καὶ τοῖς ἀγγέλοις αὐτοῦ Ι Ἐκφών. Ὅτι* ***Δ Η Λ*** *δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομα τοῦ* ***Λ Μ***

*17 ἰσχύϊ ἀκατάληπτος* ***Κ*** *ἰσχύϊ σου ἀκατάληπτος* ***Ψ*** *ἀκατάληπτος αὐτὸς ὁ προορίσας* ***Μ*** *18 προορίσας σε* ***Κ Μ Ψ*** *19 τῶν ἀχρείων δούλων αὐτοῦ Γ τῶν ἀχρείων δούλων κελεύει* ***Ο*** *20 ἀπὸ τῶν νεωστὶ σφραγισθέντων Β Γ* ***Δ Η*** *Κ* L, *ἀπὸ τῶν νεοσφραγισθέντων Ι 21 ἐπὶ τῷ ὀνόματι τοῦ* ***Λ*** *τοῦ ἀληθινοῦ ἡμῶν Θεοῦ* L, *22 παμπόνηρον καὶ μιαρὸν* ***Μ*** *26 ἀλάλῳ πνεύματι* ***Ψ*** *27 ἀναχώρησον, φοβήθητι, γνώρισον* ***Μ*** *ἀναχώρησον τὴν σὴν ματαίαν Γ*

ναμιν, τὴν μηδὲ χοίρων ἐξουσίαν ἔχουσαν. Ὑπομνήσθητι τοῦ ἐπιτάξαντός σοι κατὰ τὴν σὴν αἴτησιν εἰς τὴν ἀγέλην τῶν χοίρων εἰσελθεῖν. Φοβήθητι τὸν Θεόν, οὗ τῷ προστάγματι ἡ γῆ καθ' ὑδάτων ἐστήρικται· τὸν κτίσαντα τὸν οὐρανὸν καὶ στήσαντα τὰ ὄρη σταθμῷ καὶ τὰς νάπας ζυγῷ καὶ θέντα ἄμμον θαλάσσῃ ὅριον, καὶ ἐν ὕδατι σφοδρῷ τρίβον ἀσφαλῆ· τὸν ἁπτόμενον τῶν ὀρέων καὶ καπνίζονται· τὸν ἀναβαλλόμενον φῶς ὡς ἱμάτιον· τὸν ἐκτείνοντα τὸν οὐρανὸν ὡσεὶ δέρριν· τὸν στεγάζοντα ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ· τὸν θεμελιοῦντα τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· τὸν προσκαλούμενον τὸ ὕδωρ τῆς θαλάσσης καὶ ἐκχέοντα αὐτὸ ἐπὶ πρόσωπον πάσης τῆς γῆς. Ἔξελθε καὶ ἀναχώρησον ἀπὸ τοῦ πρὸς τὸ ἅγιον φώτισμα εὐτρεπιζομένου. Ὁρκίζω σε κατὰ τοῦ σωτηριώδους πάθους τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τοῦ τιμίου αὐτοῦ σώματος καὶ αἵματος καὶ κατὰ τῆς ἐλεύσεως αὐτοῦ τῆς φοβερᾶς. Ἥξει γὰρ καὶ οὐ χρονιεῖ, κρίνων πᾶσαν τὴν γῆν, καὶ σὲ καὶ τὴν συνεργόν σου δύναμιν κολάσει εἰς τὴν γέενναν τοῦ πυρός, παραδοὺς εἰς τὸ σκότος τὸ ἐξώτερον, ὅπου ὁ σκώληξ ὁ ἀκοίμητος καὶ τὸ πῦρ οὐ σβέννυται. Ὅτι τὸ κράτος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Πρβλ. Ματθ. η 30-32, Μαρκ. ε 11-13*
*Ψαλμ. ρλε 6*
*Γενεσ. ιδ 19 —Ἡσ. μ 12 —Ἱερεμ. ε 22*
*Ἡσ. μγ 16, Σοφ. Σολ. ιδ 3*
*Ψαλμ. ργ 32, 2, 3, 5*
*Ἀμὼς ε 8, θ 6*
*Ἀββακοὺμ β 3, Ἑβρ. ι 37 Γενεσ ιη 25, Ψαλμ πα 8 Ματθ. ε 22, Μαρκ. θ 47 καὶ ἀλλαχοῦ— Ματθ. η 12 καὶ ἀλλ.*
*Ἡσ. ξς 24 Μαρκ. θ 48*

---

*1 Ἐπιμνήσθητι τοῦ ἐπιτάξαντός σοι* **M** *2 τοῦ ἐπιτάξαντός σοι εἰς τὴν ἀγέλην* I *τὴν μηδὲ κατὰ χοίρων* **Δ Ψ** *5 στήσαντα ὄρη* I *6 ψάμμον θαλάσσης* B *θέντα ἄμμω θαλάσσης* Γ *ἄμμον θαλάσσης* **Δ** I **Λ Ψ** *8 ἀναβαλλ. τὸ φῶς* **K M** *φῶς ὥσπερ ἱμάτιον* Γ *9 τὸν ἐκτείνοντα* Γ *12 τὰ ὑπερῷα αὐτοῦ οὐ κλιθήσεται* Q *τὴν ἀσφάλειαν αὐτῆς τὸν προσκαλούμενον* **M** *15 ἀναχώρησον ἀπὸ τοῦ ἀνθρώπου* **M** *ἀπὸ τῶν πρὸς τὸ ἅγ. φώτ. εὐτρεπιζομένων* B **Δ H** I K L *17 καὶ κατά τοῦ τιμίου* Γ **Δ K** L **M Ψ** *τιμίου σώματος καὶ αἵματος* L *σώματος καὶ κατὰ τῆς ἐλεύσεως* **M** *καὶ ζωοποιοῦ αὐτοῦ αἵματος* Γ *18 Ἥξει γὰρ ἐπὶ τῶν νεφελῶν, ἥξει καὶ οὐ* ΒΓ **Δ** I K **K Λ** Q L **H M O** *ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ* K *κρῖναι* **M** *19 κρίνων ἐπὶ πᾶσαν* **O** *καὶ τῇ συνεργῷ σου δυνάμει κολάσαι* I *20 παραδούς σε* **Δ M** *εἰς ὄλεθρον εἰς σκότος τὸ ἐξώτερον* **M** *22 Ἐκφώνησις* **Λ** *Ὅτι τὸ κράτος τοῦ Θεοῦ ἡμῶν* **Δ** I *κράτος τοῦ Κυρ. ἡμῶν Ἰ. Χ. τοῦ Θεοῦ καὶ αὐτῷ πρέπει δόξα εἰς τοὺς αἰῶνας..* **M** *σὺν Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι* L *23 καὶ εἰς τοὺς αἰῶνας. Ἀμὴν* **H**

## Β Ἀφορκισμὸς Γ

Τοῦ Κυρίου δεηθῶμεν ***Κ Ο*** ε

Κ ύ ρ ι ε Σ α β α ώ θ, ὁ Θ ε ὸ ς τ ο ῦ Ἰ σ ρ α ή λ, ο ἰώμενος π ᾶ σ α ν ν ό σ ο ν καὶ π ᾶ σ α ν μ α λ α κ ί α ν, ἐ π ί β λ ε ψ ο ν ἐ π ὶ τ ὸ ν δοῦλόν σου, ἐ κ ζ ή τ η σ ο ν, ἐ ξ ε ρ ε ύ ν η σ ο ν καὶ ἀπέλασον ἀπ' αὐτοῦ πάντα τ ὰ ἐ ν ε ρ γ ή μ α τ α τοῦ διαβόλου. Ἐ π ι τ ί μ η σ ο ν τ ο ῖ ς ἀ κ α θ ά ρ τ ο ι ς π ν ε ύ μ α σ ι καὶ δίωξον αὐτὰ καὶ καθάρισον τ ὸ ἔ ρ γ ο ν τ ῶ ν χ ε ι ρ ῶ ν σ ο υ, καὶ τῇ δεξιᾷ σου χρησάμενος ἐνεργείᾳ σ ύ ν τ ρ ι ψ ο ν τ ὸ ν Σ α τ α ν ᾶ ν ὑ π ὸ τ ο ὺ ς π ό δ α ς α ὐ τ ο ῦ ἐ ν τ ά χ ε ι, καὶ δὸς αὐτῷ νίκας κατ' αὐτοῦ καὶ τ ῶ ν ἀ κ α θ ά ρ τ ω ν αὐτοῦ π ν ε υ μ ά τ ω ν· ὅπως τοῦ παρὰ σοῦ ἐλέους τυγχάνων καταξιωθῇ τῶν ἀθανάτων καὶ ἐπουρανίων σου μυστηρίων καὶ δόξαν σοι ἀναπέμψῃ τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Ἡσ. α … ἀλλ. Γε… 20, Ἐξ… καὶ ἀλλ… δ 23 κα… Τωβ. … Ψαλμ … πε 16 κ… Α' Πετ… Α' Κορ… Μαρκ. α … Δευτ. ις … 19, Ψαλ. … Ρωμ. ις … Ματθ. … Μρκ. ς …*

## Β Εὐχὴ μετὰ τὸ ποιῆσαι κατηχούμενον πρὸς τὸ προσώραν βαπτίζειν.

Τοῦ Κυρίου δεηθῶμεν ***Ψ Ξ Ο***

Ὁ ὢ ν, δ έ σ π ο τ α Κ ύ ρ ι ε, ὁ π ο ι ή σ α ς τ ὸ ν ἄ ν θ ρ ω π ο ν

*Ἱερεμ. … Γενεσ. … 27, Σοφ… λομ. β …*

---

Οἱ ***Ξ Π*** παραθέτουσι μόνον τὰς πρώτας γραμμάς, μεθ' ἃς παραπέμπουσι «Ζήτει εἰς τὴν ἀρχὴν τῆς ἀκολουθίας». Ὁ ***Ο*** μετὰ τὸν ἀφορκισμὸν τοῦτον σημειοῖ: «Χρὴ δὲ γινώσκειν, ὅτι εἴπέρ ἐστιν ἀφορῶν εἰς θάνατον καὶ ἐν βίᾳ τινὶ ὁ μέλλων βαπτισθῆναι, μετὰ τὸν ἱερέα ποιῆσαι τὴν ἔναρξιν ἄρχεται τὴν προκειμένην εὐχὴν καταλείψας τὰς ὄπισθεν. Εἰ δὲ μὴ οὕτως, μετ' ἐκείνων καὶ ταύτας «εὐχὴ μετὰ τὸ ποιῆσαι...» Ὁ ***Μ*** ἐπιγράφει «ἀφορκισμὸς δ' Στρέφεται ἀνατολὰς λέγων...»

---

*1 Κύριε ὁ Θεὸς ἡμῶν Σαβαὼθ* ***Μ*** *2 ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους Γ 3 ἐπὶ τοὺς δούλους σου, ἐκζήτησον Β* ***Δ Η*** *Ι* K L, *τὸν δοῦλον σου τόνδε* ***Μ Ψ*** *ἐκζήτησον νὰ ἔργα τῶν χειρῶν σου* ***Γ*** *Ι 4 ἀπέλασον ἀπ' αὐτῶν Β Γ* ***Δ*** *Ι* K ***Η*** L *5 ἐπιτίμησον τοῖς πονηροῖς καὶ ἀκαθ. Β* ***Κ Ψ*** *6 καθάρισον τὰ ἔργα Β Κ* L, *δεξιᾷ σου συνεργείᾳ χρησάμενος Ι δεξιᾷ ἐνεργείᾳ χρησάμενος* ***Μ*** *δεξιᾷ χρησ. ἐνεργείᾳ* ***Ψ*** *7 σύντριψον ὑπὸ τοὺς πόδας αὐτῶν ἐν τάχει καὶ δὸς Γ Β* ***Η Δ*** K L *8 καὶ δὸς αὐτοῖς Β καὶ κατὰ τῶν ἀκαθάρτων* ***Ψ*** *9 καὶ τῶν ἀκαθάρτων πνευμάτων Β* ***Μ*** *ἐλέους τυχὼν καταξιωθείη* ***Μ*** *ὅπως τοῦ παρὰ σοῦ ἐλέους τυχόντες καταξιωθῶσι Ι* K *τυγχάνοντες καταξιωθῶσι Β* ***Δ Η*** L *10 καταξιωθῶσι τῶν ἀχράντων Ι καταξιωθῇ τῶν ἐπουρανίων καὶ ἀθανάτων σου* ***Δ*** *ἐπουρανίων μυστηρίων* ***Μ Ψ*** *11 καὶ δόξαν σοι ἀναπέμψωσι Β καὶ δόξαν σοι ἀναπέμπομεν Γ καὶ δόξαν ἀναπέμψωσι τῷ Πατρὶ* ***Δ Η*** *Ι* ***Κ*** *καὶ δόξαν ἀναπέμψῃ* ***Κ*** Q ***Ο*** *δόξαν σοι ἀναπέμψωμεν* L, *ἀναπέμπωμεν τῷ Πατρί* ***Μ*** *σε τῷ Πατρὶ Ι*

*13 Εὐχὴ μετὰ τὸ ποιῆσαι κατηχούμενον τὸν πρὸς ὥραν βαπτιζόμενον* ***Δ Η*** *Ι* ***Κ*** Q ***Ο*** *ἅ Εὐχὴ εἰς τὸν πρὸς ὥραν βαπτιζόμενον Ξ Ψ Εὐχὴ εἰς τὸ ποιῆσαι κατηχούμενον εἰς τὸν πρὸς..* L, *Ἀφορκισμὸς μετὰ τὸ ποιῆσαι κατηχ. πρὸς τὸν πρὸς... Γ Ἀφορκισμὸς Δ', ἔστι δὲ καὶ εὐχὴ μετὰ τὸ ποιῆσαι κατηχ. εἰς τὸν πρὸς ὥραν* ***Δ***

*16 Κύριε Σαβαώθ, ὁ ὢν Γ*

κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν καὶ δοὺς αὐτῷ ἐξουσίαν ζωῆς αἰωνίου· εἶτα ἐκπεσόντα διὰ τῆς ἁμαρτίας μὴ παριδών, ἀλλ' οἰκονομήσας διὰ τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ σου τὴν σωτηρίαν τοῦ κόσμου· Αὐτὸς καὶ τὸ πλάσμα σου τοῦτο λυτρωσάμενος ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ πρόσδεξαι εἰς τὴν βασιλείαν σου τὴν ἐπουράνιον. Διάνοιξον αὐτοῦ τοὺς ὀφθαλμοὺς τῆς διανοίας εἰς τὸ αὐγάσαι ἐν αὐτῷ τὸν φωτισμὸν τοῦ εὐαγγελίου σου. Σύζευξον τῇ ζωῇ αὐτοῦ ἄγγελον φωτεινόν, ῥυόμενον αὐτὸν ἀπὸ πάσης ἐπιβουλῆς τοῦ ἀντικειμένου, ἀπὸ συναντήματος πονηροῦ, ἀπὸ δαιμονίου μεσημβρινοῦ, ἀπὸ φαντασμάτων πονηρῶν.

*Σοφ. Σολ, ιϛ 13 — Δευτερ. ιγ 5 — Β' Τιμοθ. δ 18 — Λουκ. κδ 45. — Πράξ. ιϛ 14, — Ἐφεσ. α 8 — Β' Κορινθ. δ 4 — Ψαλμ. ϟ 6*

Γ **Δ** *Η* Ι Κ Ξ L Q **O** Καὶ ἐμφυσᾷ αὐτῷ τρίτον καὶ σφραγίζει τὸ μέτωπον αὐτοῦ καὶ τὸ στόμα καὶ τὸ στῆθος καὶ λέγει

Ἐξέλασον ἀπ' αὐτοῦ πᾶν πονηρὸν καὶ ἀκάθαρτον πνεῦμα, κεκρυμμένον καὶ ἐμφωλεῦον αὐτοῦ τῇ καρδίᾳ (Καὶ λέγει τοῦτο ἐκ γ'). Πνεῦμα πλάνης, πνεῦμα πονηρίας, πνεῦμα εἰδω-

*Πραξ. ιθ 15, — Ματθ. ιβ 43 καὶ ἀλλ. — Α' Ἰωαν. δ 6*

---

Ὁ **Μ** ἐπιτάσσει τὴν εὐχὴν ταύτην μετὰ τὸ Ἐξέλασον, καὶ μετὰ τὸ Πνεῦμα πλάνης. Ὁ Ξ «Εἰσφέρεται ἐν τῷ ναῷ καὶ ἄρχεται ὁ ἱερεὺς αὐτῆς τῆς εὐχῆς». Ὁ **Π** ὑπὸ τὴν ἐπιγραφὴν «Τάξις εἰς τὸ ἀποτάξαι παῖδα. Προσφέρει αὐτὸν ὁ ἀνάδοχος ἐν τῇ ἐκκλησίᾳ καὶ ἐμφυσᾷ ὁ ἱερεὺς Γ' καὶ σφραγίζει τὸ μέτωπον αὐτοῦ εἰς τὸ στόμα καὶ τὸ στῆθος. Εἶτα λέγει «Τοῦ Κυρίου δεηθῶμεν· Ἐξέλασον ἀπ' αὐτοῦ...Ὡσαύτως καὶ ὁ e εὐθὺς μετὰ τὴν φράσιν «...πονηρῶν» τὴν ἐπιγραφὴν «Τάξις εἰς τὸ ἀποτάξαι παιδίον μετὰ τὸ κατηχῆσαι. Ἐμφυσᾷ ἐκ Γ' καὶ λέγει Ἐξέλασον...»

Ὁ *Ξ* εὐθὺς μετὰ τὸ «...φαντασμάτων πονηρῶν» προσθέτει: «Καὶ εἰσφέρει τὸν κατηχούμενον καὶ σφραγίζει τρίτον καὶ ἄρχεται τῆς εὐχῆς ἀπὸ τοῦ Συντριβήτωσαν ὑπὸ τὴν σημείωσιν τοῦ τύπου ἕως πληρώσεως εὐχῆς καὶ τῆς ἑτέρας εὐχῆς τῆς χρίσεως τοῦ ἁγίου ἐλαίου. Εἶτα χύνει τὴν κανδύλαν ἐπάνω τοῦ παιδὸς καὶ χρίει αὐτὸ τὸ ἅγιον μύρον καὶ ἀπολύει. Τάξις εἰς τὸ ἀποτάξαι παῖδα μετὰ τὸ κατηχῆσαι. Προσφέρει αὐτὸ ὁ ἀνάδοχος ἐν τῇ ἐκκλησίᾳ καὶ ἐμφυσᾷ ὁ ἱερεὺς τρίτον καὶ σφραγίζει τὸ μέτωπον αὐτοῦ καὶ τὸ στόμα καὶ τὸ στῆθος. Εἶτα λέγει Τοῦ Κυρίου δεηθῶμεν· Ἐξέλασον ἀπ' αὐτοῦ...»

Ὁ *Ψ* $\sigma_8$ «Δεῖ γινώσκειν ὅτι πρὸς ἀνατολὰς βλέπων ὁ ἱερεὺς ἐμφυσᾷ εἰς

---

*2 ζωῆς ἀΐδιον Γ **Δ Η** Ι **Κ Λ** Q **Μ Ο** καὶ αὐτῷ ἐξουσίαν ζωῆς ἀϊδίου δωρησάμενος Ψ ἔπειτα ἐκπεσόντα Ι ἐκπεσόντος **Μ** ἐκπεσόντα διὰ τῆς παρακοῆς καὶ διὰ τῆς Ψ 3 τοῦ Χριστοῦ τὴν σωτηρίαν Γ αὐτὸς τὸ πλάσμα σου Γ 4 τὸ πλάσμα τοῦτο **Δ** 6 διάνοιξον αὐτῶν L 7 εἰς τὸ ἐναυγάσαι αὐτὸν τὸν φωτισμὸν Γ εἰς τὸ ἐναυγάσαι αὐτῷ Β Ι Κ **Κ Δ Μ** Ψ 8 αὐγάσαι αὐτῷ **Δ** τοῦ ἁγίου σου εὐαγγελίου **Μ** τοῦ εὐαγγελίου. Σύζευξον **Δ** Σύζευξον αὐτοῦ τῇ ζωῇ Β Γ **Δ** L **Μ** 9 αὐτοῦ τὴν ζωὴν Ι Ķ ῥυόμενος ἀπὸ πάσης Κ πάσης βουλῆς τοῦ ἀντικ. Γ φαντάσματος πονηροῦ Γ **Κ Μ** Ψ πονηροῦ ἀπὸ συμπτώματος καὶ δαιμονίου L*

*17 πνεῦμα πλάνης, πνεῦμα εἰδωλολ. L πλάνης, πνεῦμα πορνείας καὶ πονηρίας **Κ***

λολατρείας καὶ πάσης πλεονεξίας· πνεῦμα ψεύδους καὶ πάσης ἀκαθαρσίας, τῆς ἐνεργουμένης κατὰ τὴν διδασκαλίαν τοῦ διαβόλου. Καὶ ποίησον αὐτὸν πρόβατον λογικὸν τῆς ἁγίας ποίμνης τοῦ Χριστοῦ, μέλος τίμιον τῆς ἐκκλησίας σου, σκεῦος ἡγιασμένον, υἱὸν φωτὸς καὶ κληρονόμον τῆς βασιλείας σου· ἵνα κατὰ τὰς ἐντολάς σου πολιτευσάμενος καὶ φυλάξας τὴν σφραγῖδα ἄθραυστον καὶ διατηρήσας τὸν χιτῶνα ἀμόλυντον τύχῃ τῆς μακαριότητος τῶν ἁγίων ἐν τῇ βασιλείᾳ σου **Δ Η** Ἐκφώνησις

Ματθ. κ · Ἐφεσ. ε · Β' Κορ. · Ματθ. κ · Α Πετ. · Α' Θεσ. · Α' Θεσ. · Ἰακωβ

Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Γ **Δ** Ι **Η** L **Δ** Q **Μ Ο** Καὶ μετὰ τὸ Ἀμὴν ἀποδυομένου καὶ ὑπολυομένου τοῦ βαπτιζομένου, εἰ μέγας ἐστὶ στρέφει αὐτὸν ὁ ἱερεὺς ἐπὶ δυσμὰς ἄνω τὰς χεῖρας ἔχοντα καὶ λέγει ἐκ γ' (περίπου τὰ αὐτὰ καὶ οἱ **Ψ Ξ** Κ **Κ** e L **Δ**) Ι Ὃ λέγω, καὶ ὑμεῖς λέγετε, **Ο** «Ἅπερ μέλλω σοι ἐρωτᾷν νουνεχῶς μοι ἀπόκριναι.

τὸ πρόσωπον αὐτοῦ τρίτον καὶ σφραγίζει αὐτὸν τρίτον ἀπὸ τοῦ μετώπου ἕως τοῦ στήθους λέγων...»

Ὁ **Κ** «Καὶ στραφεὶς ἐμφυσᾷ εἰς τὸ πρόσωπον αὐτοῦ τρίτον ἀπὸ τοῦ μετώπου ἕως τοῦ στήθους λέγων».

Ὁ **Δ** προσθέτει «..καὶ λέγει τρίτον Ἐξέλασον...», Μετὰ τὸ «Ἐξέλασον...τῇ καρδίᾳ« προσθέτει τὸ Γ' (ἤτοι λέγεται ἐκ τρίτου) καὶ ὁ **Μ**, ὁ **Κ** ὑπὸ δευτέρας χειρός. Παραλείπουσι τὸ ἐν τῷ ἐντύπῳ ὑπάρχον καὶ ἐκ τρίτου οἱ Β Γ **Η** Ι Κ Q L **Ψ Ο**.

Ἐν τῷ **Μ** εὐθὺς μετὰ τὸ «..τῆς μακαριότητος τῶν ἐκλεκτῶν σου ἐν τῇ βασιλείᾳ σου» ἐπακολουθεῖ ἡ εὐχὴ «Ὁ ὤν, δέσποτα Κύριε...» καὶ μετὰ τὴν τελευταίαν φράσιν τῆς εὐχῆς ταύτης «...φαντάσματος πονηροῦ» ἐπακολουθεῖ εὐθὺς ἡ ἐκφώνησις Χάριτι...

Ἐν τοῖς Q **Ο** εὐθὺς μετὰ τὴν ἐκφώνησιν «Ταύτας τὰς ε' εὐχὰς ποιεῖ ὁ ἱερεὺς τοῖς βαπτιζομένοις ὀκτάκις ἢ δεκάκις».

Ὁ **ε** εὐθὺς μετὰ τὴν ἐκφώνησιν «Εἶτα στρέφει αὐτὸν πρὸς δυσμὰς καὶ ἐρωτᾷ αὐτὸν λέγων Ἀποτάσσῃ τῷ σατανᾷ;...»

Κατὰ τὸν ὑπ' ἀριθ. 996 εὐχολόγιον τοῦ Σινᾶ (XVI αἰῶ. D 797) «ταύτας τὰς ε' εὐχὰς ποιεῖ ὁ ἱερεὺς ὀκτάκις.» Καὶ ἕπεται ἡ ἀπόταξις. Κατὰ δὲ τὸν ὑπ' ἀριθ. 343 τοῦ Κουτλουμουσίου (Δ 949)) «ὀκτάκις ἢ δεκάκις».

*1 πλεονεξίας, πνεῦμα πονηρίας, πνεῦμα ψεύδους καὶ πάσης ῥαδιουργίας τῆς ἐνεργούσης* L *Μετὰ τὸ «κατὰ τὴν διδασκαλίαν τοῦ διαβόλου» ἐν τῷ περιθωρίῳ ὑπὸ δευτέρας χειρὸς* Γ' *ἐν τῷ* L *3 Καὶ ποίησον αὐτὸν τῆς ἁγίας ποίμνης τοῦ Χριστοῦ σου σκεῦος* L *Καὶ ποίησον πρόβατον* **Η** *4 τοῦ Χριστοῦ σου* Β *ποίμνης τοῦ Χριστοῦ σου. σκεῦος ἡγιασμένον* Κ *5 υἱὸν φωτὸς καὶ ἡμέρας* **Μ** *6 κατὰ τὰς ἐντολάς σου πολιτευόμενος* **Δ**

*8 μακαριότητος τῶν ἐκλεκτῶν σου ἐν τῇ βασιλείᾳ σου* Β Γ Κ **Κ Μ Δ** *τύχῃ τῆς μακαρίας ζωῆς τῶν ἐκλεκτῶν σου ἐν τῇ βασιλείᾳ σου* Ψ *τῶν ἁγίων σου* **Δ Η** L Q.

*Ο Π ε* (ā) Ἀποτάσσῃ τῷ Σατανᾷ;

Β Γ *Δ Η* L Κ *Ψ* ᾱ Ἀποτάσσομαι τῷ Σατανᾷ καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ καὶ πάσῃ τῇ λατρείᾳ αὐτοῦ καὶ πᾶσι τοῖς ἀγγέλοις αὐτοῦ καὶ πάσῃ τῇ πομπῇ αὐτοῦ.

Γ *Δ Η Λ Ξ Ο* Q *Π Σ* ᾱ ā e Καὶ ἀποκρίνεται ὁ κατηχούμενος ἢ ὁ ἀνάδοχος αὐτοῦ πρὸς ἕκαστον τούτων, ἐὰν ᾖ παιδίον ἢ βάρβαρος ἐκ τρίτου τὸ ἀποτάσσομαι.

*Ο Π ε* (ā) Ἀποτάσσομαι τῷ Σατανᾶ.

Καὶ αὖθις ὁ ἱερεὺς ἐρωτᾷ αὐτόν:

Καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ;
Καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ.
Καὶ πάσῃ τῇ λατρείᾳ αὐτοῦ;
Καὶ πάσῃ τῇ λατρείᾳ αὐτοῦ.

Καὶ αὖθις:

Καὶ πᾶσι τοῖς ἀγγέλοις αὐτοῦ;

Καὶ ἀποκρίνεται:

Καὶ πᾶσι τοῖς ἀγγέλοις αὐτοῦ.

Καὶ πάλιν:

Καὶ πάσῃ τῇ πομπῇ αὐτοῦ;

Καὶ ἀποκρίνεται:

Καὶ πάσῃ τῇ πομπῇ αὐτοῦ.

---

Οἱ *Ξ* e «Ἀποτάσσομαι τὸν σατανᾶν: Ἀποτάσσομαι. Καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ. Ἀποτάσσομαι. Καὶ πάσῃ τῇ λατρείᾳ αὐτοῦ. Ἀποτάσσομαι. Καὶ πάσῃ τῇ πομπῇ αὐτοῦ. Ἀποτάσσομαι. Καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ. Ἀποτάσσομαι. Καὶ ἀποκρίνεται ὁ κατηχούμενος...».

Ὁ Β Καὶ μετὰ τὸ Ἀμὴν ἀποδυομένου καὶ ὑπολυομένου τοῦ βαπτιζομένου ἀποστρέφει αὐτὸν ὁ ἱερεὺς ἐπὶ δυσμάς, ἄνω τὰς χεῖρας ἔχοντα, καὶ λέγει γ' Ἀποτάσσομαι...Καὶ ἀποκρίνεται ὁ βαπτιζόμενος ἢ ὁ ἀνάδοχος αὐτοῦ πρὸς ἕκαστον. Καὶ πάλιν ὁ ἱερεὺς ἐρωτᾷ Ἀπετάξασθε τῷ Σατανᾷ; Καὶ ἀποκρίνεται Ἀπεταξάμεθα. Καὶ λέγει ὁ ἱερεὺς Ἐμφυσήσατε αὐτῷ. Καὶ στρέφει αὐτὸν ἐπὶ ἀνατολάς, κάτω τὰς χεῖρας ἔχοντα καὶ λέγει αὐτῷ γ'. Καὶ συντάσσομαι τῷ Χριστῷ καὶ πιστεύω εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα καὶ τὰ ἑξῆς. Καὶ ὅτε εἴπῃ γ' ὁ ἱερεύς, πάλιν ἐρωτᾷ αὐτούς. Καὶ συνετάξασθε τῷ Χριστῷ; Καὶ ἀποκρίνονται Συνεταξάμεθα. Καὶ λέγει ὁ ἱερεύς· Προσκυνήσατε αὐτῷ. Καὶ ποιεῖ ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν.

Ὁ Ι Ἀποτάσσομαι τὸν σατανᾶν καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ καὶ πάσῃ τῇ πομπῇ αὐτοῦ καὶ πᾶσι τοῖς ἀγγέλοις αὐτοῦ καὶ πάσῃ τῇ λατρείᾳ αὐτοῦ. Ἡ σειρὰ κατὰ τὸν *Μ* «τῷ Σατανᾷ... τοῖς ἀγγέλοις αὐτοῦ... τοῖς ἔργοις καὶ πάσῃ τῇ λατρείᾳ αὐτοῦ». Κατὰ τὸν Q «τῷ σατανᾷ.. τοῖς ἔργοις... τοῖς ἀγγέλοις αὐτοῦ καὶ πάσῃ τῇ πομπῇ αὐτοῦ». Κατὰ τὸν *Κ* «..σατανᾷ καὶ...ἔργοις...λατρείᾳ...πομπῇ αὐτοῦ». Κατὰ τὸν *Λ* «...σατανᾷ...ἔργοις...ἀγγέλοις... λατρείᾳ...πομπῇ αὐτοῦ». Οἱ *Η* L παραλείπουσι τὸ πάσῃ πρὸ τοῦ λατρείᾳ.

Πάντες ἀνεξαιρέτως οἱ κώδικες ἔχουσιν οὐχὶ κατ' ἐρώτησιν («Ἀποτάσσῃ τῷ Σατανᾷ;...) ἀλλ' ὡς ἀνωτέρω.

Γ Δ Η Ι Μ Ξ Ο Ψ ᾱ e Καὶ μετὰ τοῦτο πάλιν λέγει ὁ ἱερεύς:

Ἀπετάξω τῷ Σατανᾷ;

Καὶ ἀποκρίνεται ὁ κατηχούμενος ἢ ὁ ἀνάδοχος αὐτοῦ:

Ἀπεταξάμην.

Καὶ ὅτε εἴπῃ τρίτον, λέγει ὁ ἱερεύς:

Ἔμπτυσον αὐτόν.

Καὶ τοῦτο ποιήσαντος ἱστᾷ αὐτὸν πάλιν κατὰ ἀνατολὰς κάτω τὰς χεῖρας ἔχοντα καὶ λέγει τρίτον:

Καὶ συντάσσομαι τῷ Χριστῷ. Καὶ πιστεύω εἰς ἕνα Θεὸν

Καὶ ἑξῆς μέχρι τέλους, ἀποκρινομένου καθ' ἕκαστον τοῦ κατηχουμένου ἢ

---

Ὁ Κ «Τοῦτο λέγει Γ'' πάντων λεγόντων αὐτό».

Ὁ Λ «Καὶ ἀποκρίνεται...πρὸς ἓν ἕκαστον τῶν πέντε τούτων κεφαλαίων καὶ ἐρωτήσεων...»

Οἱ Γ L, Μ Ι δὲν ἔχουσι τὸ «ἐκ τρίτου» εἰς τὸ ἀποτάσσομαι.

Οἱ Κ Γ L, Q Ψ Κ Λ Ι Δ Ο Π $Σ_2$ ἀντὶ τοῦ ἔμπτυσον αὐτὸν γράφουσιν Ἐμφύσησον αὐτόν. ὡσαύτως καὶ ὁ Βησσαριανός. Ἐμφύσησον αὐτῷ Ο Π e $Σ_2$ καὶ ὁ Βοδληανός

Ὁ $σ_6$ «Καὶ ἔμπτυσον αὐτῷ. Καὶ στραφεὶς ὁ ἱερεὺς πρὸς δυσμὰς ἐν τῷ ἀριστερῷ μέρει μετὰ τοῦ βαπτιζομένου, οἷον καὶ τοῦ ἀναδόχου, ἐμπτύουσιν αὐτῷ ἅμα, οἷον τῷ σατανᾷ, κάτω βλέποντες ἐπὶ τῆς γῆς· καὶ τοῦτο ποιοῦντες ἱστᾷ πάλιν αὐτὸν κατὰ ἀνατολάς, δεδεμένον φόβῳ τὰς χεῖρας καὶ λέγοντα ἐκ τρίτου. Καὶ συντάσσομαι.

Ὁ e «...Καὶ ἐμπτύει τρίς. Καὶ στρέφει αὐτὸν κατὰ ἀνατολὰς λέγων Καὶ συντάσσῃ τῷ Χριστῷ;»

Ὁ Ψ «Καὶ ἀποκρίνεται αὐτῷ Ἀπεταξάμην τον.» Ὁ Κ «..Ναί, ἀπεταξάμην».

Ὁ Κ «Καὶ ἐρωτᾷ αὐτοῖς Γ' Ἀπετάξασθε τῷ...Λέγουσι Γ' Ἀπεταξάμεθα. Καὶ λέγει αὐτοῖς Ἐμφυσήσατε αὐτῷ...Καὶ συντάσσομαι Χριστῷ τῷ Θεῷ τῶν αἰώνων...»

Οἱ Ξ e «Καὶ ὅτε εἴπῃ τρίτον λέγει ὁ ἱερεὺς ἐμφυσῆσαι αὐτῷ. Καὶ μετὰ τὸ ἐμφυσῆσαι ἵσταται αὐτὸν πάλιν κατὰ ἀνατολάς...»

Ὁ Δ «...Καὶ ὅτε ἐρωτηθεὶς τρὶς τοσαυτάκις ἀποτάξηται λέγει ὁ ἱερεύς...»

Ὁ Μ «Καὶ μετὰ τὸ ἐμπτῦσαι στρέφεται πρὸς τὸν Χριστοῦ τύπον λέγων· Καὶ συντάσσομαι...».

Οἱ Ο Π e «Καὶ μετὰ τὸ ἐμφυσῆσαι τρίτον ἱστᾷ αὐτὸν πάλιν κατὰ ἀνατολάς...Καὶ λέγει ὁ ἱερεύς. Καὶ σύνταξον τῷ Χριστῷ. Καὶ ἀποκρίνεται. Καὶ συντάσσομαι...»

Ὁ ᾱ παραλείπει τήν τε ἐμφύσησιν καὶ ἔμπτυσιν. Ὁ ᾱ «..Λέγει ὁ ἱερεὺς πρὸς αὐτόν. Καὶ ἐμφύσησον καὶ ἔμπτυσον αὐτόν. Καὶ πτύει ὁ ἀνάδοχος καὶ ἐμφυσᾷ πρὸς τὸ ἀριστερὸν μέρος αὐτοῦ ἐκ τρίτου...λέγει ὁ ἱερεύς· Συντάσσῃ τῷ Χριστῷ. Ὁ βαπτιζόμενος λέγει Συντάσσομαι τῷ Χριστῷ. Ὁ ἱερεὺς λέγει Καὶ πιστεύεις αὐτῷ; Ὁ βαπτιζόμενος Πιστεύω αὐτῷ ὡς βασιλεῖ καὶ Θεῷ. Εἶτα λέγει τὸ ἅγιον σύμβολον καὶ ταῦτα ἐκ τρίτου» Ὁ Σ «Καὶ συντάσσομαι Χριστῷ καὶ Πιστεύω εἰς ἕνα Θεόν...καὶ βαπτίζομαι».

τοῦ ἀναδόχου, ὡς εἴρηται. Καὶ ὅτε πληρώσει τοῦτο Γ', ἐρωτᾷ ὁ ἱερεὺς τὸν βαπτιζόμενον:

Συνετάξω τῷ Χριστῷ;

Καὶ ἀποκρίνεται:

